# ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΡΚΟΝ

1 Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, Υἱοῦ
τοῦ Θεοῦ.*

## John the Baptizer

2 Ὡς† γέγραπται ἐν τοῖς προφήταις‡—«Ἰδού,
ἐγὼ§ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ
προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν
σου ἔμπροσθέν σου.»* 3 «Φωνὴ βοῶντος·
‹Ἐν τῇ ἐρήμῳ ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου,
εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.›»—
4 Ἐγένετο Ἰωάννης† βαπτίζων ἐν τῇ ἐρήμῳ καὶ
κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν
ἁμαρτιῶν. 5 Καὶ ἐξεπορεύετο‡ πρὸς αὐτὸν
πᾶσα ἡ Ἰουδαία χώρα καὶ οἱ Ἱεροσολυμῖται,
καὶ ἐβαπτίζοντο πάντες§ ἐν τῷ Ἰορδάνῃ

---

* **1:1** υιου του θεου **f35** A (98.4%) HF,RP,CP,TR,OC ¦ υιου θεου B,D,W (0.4%) [NU] ¦ — א (0.8%) ¦ two other variants (0.4%) † **1:2** ως **f35** A,D,W [97%] HF,RP,CP,TR,OC ¦ καθως אB [3%] NU ‡ **1:2** τοις προφηταις **f35** A,W (96.7%) HF,RP,CP,TR,OC ¦ τω ησαια τω προφητη אB (1.3%) NU ¦ ησαια τω προφητη D (1.8%) ¦ one other variant (0.2%) [The first quote is from Malachi; only the second is from Isaiah.] § **1:2** εγω **f35** אA,W [99%] HF,RP,CP,TR,OC ¦ — B,D [1%] NU * **1:2** εμπροσθεν σου **f35** A (96.7%) HF,RP,CP,TR,OC ¦ — אB,D,W (3.3%) NU † **1:4** ιωαννης **f35** A(D)W (99.4%) HF,RP,CP,TR,OC ¦ 1 ο אB (0.6%) [NU] ‡ **1:5** εξεπορευετο **f35** אA,B,D,W [70%] HF,RP,CP,TR,OC,NU ¦ εξεπορευοντο [30%] § **1:5** και εβαπτιζοντο παντες **f35** A,W [96%] HF,RP,CP,TR,OC ¦ 132 [2%] ¦ 312 B,D [1%] NU ¦ 32 א ¦ 12 [1%]

ποταμῷ ὑπ᾽ αὐτοῦ,* ἐξομολογούμενοι τὰς
ἁμαρτίας αὐτῶν.
6 Ἦν δὲ ὁ † Ἰωάννης ἐνδεδυμένος τρίχας
καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν
ὀσφὺν αὐτοῦ, καὶ ἐσθίων ἀκρίδας καὶ μέλι
ἄγριον. 7 Καὶ ἐκήρυσσεν λέγων· «Ἔρχεται
ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ
εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν
ὑποδημάτων αὐτοῦ. 8 Ἐγὼ μὲν‡ ἐβάπτισα
ὑμᾶς ἐν§ ὕδατι, αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν
Πνεύματι Ἁγίῳ.»

# Jesus is baptized

9 Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις, ἦλθεν
ὁ * Ἰησοῦς ἀπὸ Ναζαρὲτ† τῆς Γαλιλαίας καὶ
ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην.‡
10 Καὶ εὐθέως§ ἀναβαίνων ἀπὸ* τοῦ ὕδατος

---

* **1:5** εν τω ιορδανη ποταμω ὑπ αυτου **f35** A [98%] HF,RP,CP,TR,OC ¦ 561234 אB [1%] NU ¦ 12356 W [1%] ¦ 1356 D
† **1:6** ην δε ο **f35** [94%] HF,RP,CP,OC ¦ 12 A,D,W [5%] TR ¦ και 13 אB [1%] NU ¦ two other variants
‡ **1:8** μεν **f35** A(D)W [98%] HF,RP,CP,TR,OC ¦ — אB [2%] NU
§ **1:8** εν **f35** A(D)W (95.5%) HF,RP,CP,TR,OC ¦ — אB (4%) NU ¦ four other variants (0.5%)
* **1:9** ο **f35** D [45%] CP,OC ¦ — אA,B,W [55%] HF,RP,TR,NU
† **1:9** ναζαρετ **f35** אB [70%] HF,RP,CP,TR,OC,NU ¦ ναζαρεθ D,W [29%] ¦ ναζαρατ A [1%]
‡ **1:9** υπο ιωαννου εις τον ιορδανην **f35** A,W [97%] HF,RP,CP,TR,OC ¦ 34512 א(B,D) [3%] NU
§ **1:10** ευθεως **f35** A,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς אB [1%] NU ¦ — D (In Hellenistic Greek ευθεως is the normal adverbial form for the adjective ευθυς. People with a bias toward classical Greek, both in ancient Alexandria and in more modern times, have preferred ευθυς as the adverbial form as well.)
* **1:10** απο **f35** A [97%] HF,RP,CP,TR,OC ¦ εκ אB,D,W [3%] NU

εἶδεν σχιζομένους τοὺς οὐρανοὺς καὶ τὸ
Πνεῦμα, ὡσεὶ† περιστεράν, καταβαῖνον ἐπ’‡
αὐτόν. 11 Καὶ φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν·
«Σὺ εἶ ὁ Υἱός μου, ὁ ἀγαπητός, ἐν ᾧ §
εὐδόκησα.»*

## Jesus is tested

12 Καὶ εὐθέως† τὸ Πνεῦμα αὐτὸν ἐκβάλλει εἰς
τὴν ἔρημον. 13 Καὶ ἦν ἐκεῖ‡ ἐν τῇ ἐρήμῳ
ἡμέρας τεσσαράκοντα§ πειραζόμενος ὑπὸ τοῦ
Σατανᾶ, καὶ ἦν μετὰ τῶν θηρίων· καὶ οἱ
ἄγγελοι διηκόνουν αὐτῷ.

## Jesus ministers in Galilee

14 Μετὰ δὲ τὸ παραδοθῆναι τὸν* Ἰωάννην,
ἦλθεν ὁ † Ἰησοῦς εἰς τὴν Γαλιλαίαν κηρύσσων
τὸ εὐαγγέλιον τῆς βασιλείας‡ τοῦ Θεοῦ 15 καὶ§
λέγων ὅτι «Πεπλήρωται ὁ καιρὸς καὶ ἤγγικεν

---

† **1:10** ωσει **f35** (W) [70%] HF,RP,CP,TR ¦ ως אA,B,D [30%] OC,NU ‡ **1:10** επ **f35** אA,W [98%] HF,RP,CP,TR,OC ¦ εις B,D [2%] NU § **1:11** ω **f35** A,W [90%] HF,RP,CP,TR ¦ σοι אB,D [10%] OC,NU * **1:11** ευδοκησα *rell* ¦ ηυδοκησα W [10%] OC † **1:12** ευθεως **f35** A,D [40%] OC ¦ ευθυς אB,W [60%] HF,RP,CP,TR,NU (Were one to follow the majority variant here, the idea would presumably be ‘straight into the wilderness’, which makes good sense.) ‡ **1:13** εκει **f35** W [98%] HF,RP,CP,TR,OC ¦ — אA,B,D [2%] NU § **1:13** ημερας τεσσαρακοντα **f35** [98%] HF,RP,CP,TR,OC ¦ 1 τεσσερακοντα A [1%] ¦ 21 [0.5%] ¦ τεσσερακοντα 1 B [0.5%] NU ¦ 1 μ D ¦ μ 1 אW * **1:14** τον **f35** אB,D,W [75%] HF,RP,CP,TR,NU ¦ — A [25%] OC † **1:14** ο **f35** אB,D [60%] HF,RP,CP,TR,OC,NU ¦ — A,W [40%] ‡ **1:14** της βασιλειας **f35** A,D,W (97.9%) HF,RP,CP,TR,OC ¦ — אB (2.1%) NU § **1:15** και **f35** B,W (79.4%) HF,RP,CP,TR,OC,NU ¦ — (א)A,D (19.9%) ¦ long omission (0.6%)

ἡ βασιλεία τοῦ Θεοῦ. Μετανοεῖτε καὶ
πιστεύετε ἐν τῷ εὐαγγελίῳ.»

### *Peter, Andrew, James, John*

16 Περιπατῶν δὲ* παρὰ τὴν θάλασσαν τῆς
Γαλιλαίας εἶδεν Σίμωνα καὶ Ἀνδρέαν τὸν
ἀδελφὸν αὐτοῦ, τοῦ Σίμωνος,† βάλλοντας
ἀμφίβληστρον‡ ἐν τῇ θαλάσσῃ, ἦσαν γὰρ
ἁλιεῖς. 17 Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· «Δεῦτε
ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς
ἀνθρώπων.» 18 Καὶ εὐθέως§ ἀφέντες τὰ δίκτυα
αὐτῶν* ἠκολούθησαν αὐτῷ. 19 Καὶ προβὰς
ἐκεῖθεν† ὀλίγον εἶδεν‡ Ἰάκωβον, τὸν τοῦ
Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ,
καὶ αὐτοὺς ἐν τῷ πλοίῳ καταρτίζοντας τὰ

---

* **1:16** περιπατων δε **f**$^{35}$ A,W [97%] HF,RP,CP,TR,OC ¦ και παραγων אB,D [2%] NU ¦ παραγων 2 [1%] † **1:16** αυτου του σιμωνος **f**$^{35}$ [90%] HF,RP,CP,OC ¦ 1 D,W [5%] TR ¦ 23 A [4%] ¦ 3 אB [1%] NU (Is the reading of the majority a conflation of D and A? It seems more likely that all the shorter readings are simplifications of the long one, especially if it seemed to be difficult, but why should Simon not be named after his father, in the event?) ‡ **1:16** βαλλοντας αμφιβληστρον **f**$^{35}$ (83.1%) HF,RP,CP,TR,OC ¦ 21 (3%) ¦ βαλλοντος 2 (0.4%) ¦ 1 αμφιβληστρα (0.4%) ¦ αμφιβληστρα 1 (1.2%) ¦ αμφιβαλλοντας 2 (A)W (10.7%) ¦ αμφιβαλλοντας τα δικτυα D (0.9%) ¦ αμφιβαλλοντας אB (0.3%) NU (The reading of A,W could be a conflation. The reading of B was probably a stylistic retouching of that of **f**$^{35}$, that went on to contaminate A and D, etc.) § **1:18** ευθεως **f**$^{35}$ A,B,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς א [1%] NU * **1:18** τα δικτυα αυτων **f**$^{35}$ A [97%] HF,RP,CP,TR,OC ¦ 12 אB,C,W [3%] NU ¦ παντα D † **1:19** εκειθεν **f**$^{35}$ (א)A,C [97%] HF,RP,CP,TR,OC ¦ — B,D,W [3%] NU ‡ **1:19** ειδεν *rell* ¦ ιδεν אA,C [10%]

δίκτυα.§ 20 Καὶ εὐθέως* ἐκάλεσεν αὐτούς,
καὶ ἀφέντες τὸν πατέρα αὐτῶν Ζεβεδαῖον ἐν
τῷ πλοίῳ μετὰ τῶν μισθωτῶν ἀπῆλθον ὀπίσω
αὐτοῦ.

### *A demonized man*

21 Καὶ εἰσπορεύονται εἰς Καπερναούμ.† Καὶ
εὐθέως‡ τοῖς σάββασιν εἰσελθὼν εἰς τὴν§
συναγωγὴν ἐδίδασκεν. 22 Καὶ ἐξεπλήσσοντο
ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ἦν γὰρ διδάσκων αὐτοὺς
ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς.
23 Καὶ* ἦν ἐν τῇ συναγωγῇ αὐτῶν ἄνθρωπος
ἐν πνεύματι ἀκαθάρτῳ· καὶ ἀνέκραξεν
24 λέγων· «Ἔα,† τί ἡμῖν καὶ σοί, Ἰησοῦ
Ναζαρηνέ; Ἦλθες ἀπολέσαι ἡμᾶς; Οἶδά σε
τίς εἶ—ὁ Ἅγιος τοῦ Θεοῦ.» 25 Καὶ ἐπετίμησεν
αὐτῷ ὁ Ἰησοῦς λέγων· «Φιμώθητι καὶ ἔξελθε
ἐξ αὐτοῦ.»‡ 26 Καὶ σπαράξαν αὐτὸν τὸ πνεῦμα
τὸ ἀκάθαρτον, καὶ κράξαν§ φωνῇ μεγάλῃ
ἐξῆλθεν ἐξ αὐτοῦ. 27 Καὶ ἐθαμβήθησαν

---

§ **1:19** δικτυα *rell* ¦ 1 αυτων [15%] * **1:20** ευθεως **f**$^{35}$ A,C,D(W) [99%] HF,RP,CP,TR,OC ¦ ευθυς אB [1%] NU † **1:21** καπερναουμ **f**$^{35}$ A,C [98%] HF,RP,CP,TR,OC ¦ καφαρναουμ אB,D,W [2%] NU ‡ **1:21** ευθεως **f**$^{35}$ A,B,C,D,W [98%] HF,RP,CP,TR,OC ¦ ευθυς א [2%] NU § **1:21** την *rell* ¦ — [20%] some TRs * **1:23** και **f**$^{35}$ A,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ 1 ευθυς אB [1%] NU † **1:24** εα **f**$^{35}$ A,C [99%] HF,RP,CP,TR,OC ¦ — אB,D,W [1%] NU ‡ **1:25** εξ αυτου **f**$^{35}$ אA,B,C (88.7%) HF,RP,CP,TR,OC,NU ¦ απ 2 (10.9%) ¦ εκ του ανθρωπου πνευμα ακαθαρτον D,W ¦ εκ του ανθρωπου το πνευμα το ακαθαρτον (0.2%) § **1:26** κραξαν **f**$^{35}$ A,C [99%] HF,RP,CP,TR,OC ¦ κραξας (D) ¦ ανεκραγεν (W) ¦ φωνησαν אB [1%] NU

πάντες,* ὥστε συζητεῖν πρὸς ἑαυτούς,†
λέγοντας·‡ «Τί ἐστιν τοῦτο; Τίς ἡ διδαχὴ ἡ
καινὴ αὕτη; Ὅτι§ κατ᾽ ἐξουσίαν καὶ τοῖς
πνεύμασιν τοῖς ἀκαθάρτοις ἐπιτάσσει, καὶ
ὑπακούουσιν αὐτῷ.» 28 Ἐξῆλθεν δὲ* ἡ ἀκοὴ
αὐτοῦ εὐθὺς† εἰς ὅλην τὴν περίχωρον τῆς
Γαλιλαίας.

### *Peter's mother-in-law*

29 Καὶ εὐθέως‡ ἐκ τῆς συναγωγῆς
ἐξελθόντες ἦλθον εἰς τὴν οἰκίαν Σίμωνος
καὶ Ἀνδρέου, μετὰ Ἰακώβου καὶ Ἰωάννου.
30 Ἡ δὲ πενθερὰ τοῦ§ Σίμωνος κατέκειτο
πυρέσσουσα, καὶ εὐθέως* λέγουσιν αὐτῷ
περὶ αὐτῆς. 31 Καὶ προσελθὼν ἤγειρεν αὐτήν,

---

* **1:27** παντες **f**$^{35}$ A,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ απαντες אB [1%] NU † **1:27** εαυτους **f**$^{35}$ A,C,D,W (95%) HF,RP,CP,OC,NU ¦ αυτους (אB) (3%) TR ¦ αλληλους (1.7%) ¦ five other variants (0.3%) ‡ **1:27** λεγοντας **f**$^{35}$ אB,D (79.8%) HF,RP,CP,TR,OC,NU ¦ λεγοντες A,C,W (20%) ¦ — (0.2%) § **1:27** τις η διδαχη η καινη αυτη οτι **f**$^{35}$ C [98%] HF,RP,CP,TR,OC ¦ 123456 W ¦ 123 εκεινη 456 η εξουσια 7 D ¦ 125637 A [1%] ¦ 35 אB [0.5%] NU (A, D and W are closer to the majority reading than to B, and presumably derive from it; B looks like typical Alexandrian editing.) * **1:28** εξηλθεν δε **f**$^{35}$ A [97%] HF,RP,CP,TR ¦ και 1 אB,C,D,W [3%] OC,NU † **1:28** ευθυς **f**$^{35}$ A,D [96%] HF,RP,CP,TR,OC ¦ ευθυς πανταχου B,C [1%] NU ¦ πανταχου W ¦ — א [3%] (Observe the contrast with the next footnote. Here ευθυς is more like an adjective; not an adverb of time as in the following case.) ‡ **1:29** ευθεως **f**$^{35}$ A,C [97%] HF,RP,CP,TR,OC ¦ ευθυς אB [3%] NU ¦ — D,W § **1:30** του **f**$^{35}$ [30%] CP ¦ — אA,B,C(D,W) [70%] HF,RP,TR,OC,NU * **1:30** ευθεως **f**$^{35}$ A,C [98%] HF,RP,CP,TR,OC ¦ ευθυς אB,D [2%] NU ¦ — W

κρατήσας τῆς χειρὸς αὐτῆς,† καὶ ἀφῆκεν
αὐτὴν ὁ πυρετὸς εὐθέως‡ καὶ διηκόνει αὐτοῖς.

### *Many healings*

32 Ὀψίας δὲ γενομένης, ὅτε ἔδυ ὁ ἥλιος,
ἔφερον πρὸς αὐτὸν πάντας τοὺς κακῶς
ἔχοντας καὶ τοὺς δαιμονιζομένους. 33 Καὶ
ἡ πόλις ὅλη ἐπισυνηγμένη ἦν§ πρὸς τὴν
θύραν, 34 καὶ ἐθεράπευσεν πολλοὺς κακῶς
ἔχοντας ποικίλαις νόσοις καὶ δαιμόνια πολλὰ
ἐξέβαλεν· καὶ οὐκ ἤφιεν λαλεῖν τὰ δαιμόνια,
ὅτι ᾔδεισαν αὐτὸν Χριστὸν εἶναι.*

### *Alone to pray*

35 Καὶ πρωῒ ἔννυχον† λίαν ἀναστάς,
ἐξῆλθεν καὶ ἀπῆλθεν‡ εἰς ἔρημον τόπον,
κἀκεῖ προσηύχετο. 36 Καὶ κατεδίωξαν§
αὐτὸν ὁ * Σίμων καὶ οἱ μετ᾽ αὐτοῦ, 37 καὶ

---

† **1:31** αυτης **f35** A,C [99.5%] HF,RP,CP,TR,OC ¦ — אB(D,W) [0.5%] NU ‡ **1:31** ευθεως **f35** A(D) [97%] HF,RP,CP,TR,OC ¦ — אBC,W [3%] NU § **1:33** η πολις ολη επισυνηγμενη ην **f35** A(W) [97%] HF,RP,CP,TR ¦ 53124 B,C,D [2%] NU ¦ 12354 [1%] ¦ 51234 OC ¦ — א ¦ four other variants * **1:34** χριστον ειναι **f35** B,W (28%) OC ¦ τον 12 (C) (11.6%) ¦ 2 τον 1 (1.2%) ¦ — אA(D) (58.9%) HF,RP,CP,TR,NU ¦ five other variants (0.4%) † **1:35** εννυχον **f35** A [98%] HF,RP,CP,TR ¦ εννυχα אB,C,D(W) [2%] OC,NU ‡ **1:35** απηλθεν **f35** אA,C,D (71.7%) HF,RP,TR,OC,NU ¦ 1 ο ιησους (26.5%) CP ¦ ο ιησους (0.3%) ¦ — B,W (1.3%) ¦ three other variants (0.2%) § **1:36** κατεδιωξαν **f35** A,C,D,W [95%] HF,RP,CP,TR,OC ¦ κατεδιωξεν אB [5%] NU * **1:36** ο **f35** A,C [89%] HF,RP,CP,TR,OC ¦ 1 τε [10%] ¦ το D ¦ — אB,W [1%] NU

εὑρόντες† αὐτὸν‡ λέγουσιν αὐτῷ ὅτι «Πάντες
σε ζητοῦσιν.»§ 38 Καὶ λέγει αὐτοῖς· «Ἄγωμεν*
εἰς τὰς ἐχομένας κωμοπόλεις, ἵνα καὶ ἐκεῖ†
κηρύξω· εἰς τοῦτο γὰρ ἐλήλυθα.»‡
39 Καὶ ἦν§ κηρύσσων ἐν ταῖς συναγωγαῖς*
αὐτῶν εἰς ὅλην τὴν Γαλιλαίαν, καὶ τὰ
δαιμόνια ἐκβάλλων.

# The hinge—proof, evaluation, rejection, blasphemy

*A leper—the proof*

40 Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς παρακαλῶν
αὐτὸν καὶ γονυπετῶν αὐτὸν† καὶ λέγων αὐτῷ
ὅτι «Ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.»
41 Ὁ δὲ Ἰησοῦς‡ σπλαγχνισθείς, ἐκτείνας
τὴν χεῖρα ἥψατο αὐτοῦ§ καὶ λέγει αὐτῷ,

---

† **1:37** ευροντες **f35** A,C [99%] HF,RP,CP,TR,OC ¦ ευρον אB(D) [1%] NU ¦ — (W) ‡ **1:37** αυτον **f35** A,C,D [99%] HF,RP,CP,TR,OC ¦ 1 και אB [1%] NU ¦ — (W) § **1:37** σε ζητουσιν **f35** A [90%] HF,RP,CP,OC ¦ 21 אB,C,D(W) [10%] TR,NU * **1:38** αγωμεν **f35** A,D,W [99%] HF,RP,CP,TR,OC ¦ 1 αλλαχου אB,C [1%] NU † **1:38** και εκει **f35** A,B,C [85%] HF,RP,CP,OC,NU ¦ κακει אD [14%] TR ¦ 2 [1%] ¦ — W ‡ **1:38** εληλυθα **f35** W [40%] ¦ εξεληλυθα A,D [59%] HF,RP,CP,TR,OC ¦ εξηλθον אB,C [1%] NU § **1:39** ην **f35** A,C,D,W (99.5%) HF,RP,CP,TR,OC ¦ ηλθεν אB (0.5%) NU * **1:39** εν ταις συναγωγαις **f35** [90%] HF,RP,CP,TR,OC ¦ εις τας συναγωγας אA,B,C,D,W [10%] NU † **1:40** και γονυπετων αυτον **f35** A,C (86.2%) HF,RP,CP,TR,OC ¦ 12 αυτω (3.7%) ¦ 12 א (6%) [NU] ¦ — B,D,W (4.1%) ‡ **1:41** ο δε Ιησους **f35** A,C,W [99.5%] HF,RP,CP,TR,OC ¦ και אB,D [0.5%] NU § **1:41** ηψατο αυτου **f35** A,C,W [99%] HF,RP,CP,TR,OC ¦ 21 אB [1%] NU ¦ 212 D

«Θέλω· καθαρίσθητι.» 42 Καὶ εἰπόντος αὐτοῦ,*
εὐθέως† ἀπῆλθεν ἀπ᾽ αὐτοῦ ἡ λέπρα,‡ καὶ
ἐκαθαρίσθη. 43 Καὶ ἐμβριμησάμενος αὐτῷ,
εὐθέως§ ἐξέβαλεν αὐτόν, 44 καὶ λέγει αὐτῷ·
«Ὅρα μηδενὶ μηδὲν εἴπῃς· ἀλλ᾽* ὕπαγε,
σεαυτὸν δεῖξον τῷ ἱερεῖ καὶ προσένεγκαι†
περὶ τοῦ καθαρισμοῦ σου ἃ προσέταξεν
Μωσῆς,‡ εἰς μαρτύριον αὐτοῖς.» 45 Ὁ
δὲ ἐξελθὼν ἤρξατο κηρύσσειν πολλὰ καὶ
διαφημίζειν τὸν λόγον, ὥστε μηκέτι αὐτὸν
δύνασθαι φανερῶς εἰς πόλιν εἰσελθεῖν, ἀλλ᾽
ἔξω ἐν§ ἐρήμοις τόποις ἦν· καὶ ἤρχοντο πρὸς
αὐτὸν πανταχόθεν.*

# 2

*A paralytic—the evaluation*

1 Καὶ εἰσῆλθεν πάλιν* εἰς Καπερναοὺμ†

---

* **1:42** ειποντος αυτου **f**35 A,C (96%) HF,RP,CP,TR,OC ¦ 1 αυτω (0.4%) ¦ — אB,D,W (2.3%) NU ¦ long omission (1.2%) † **1:42** ευθεως **f**35 A,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς אB [1%] NU ‡ **1:42** απ αυτου η λεπρα *rell* ¦ 3412 A(C) [10%] § **1:43** ευθεως **f**35 (A)C [98%] HF,RP,CP,TR,OC ¦ ευθυς אB,D [2%] NU ¦ W omits verse 43 * **1:44** αλλ **f**35 [85%] HF,RP,TR,OC ¦ αλλα אA,B,C,D,W [15%] CP,NU † **1:44** προσενεγκαι **f**35 C [25%] ¦ προσενεγκε אA,B,D,W [75%] HF,RP,CP,TR,OC,NU ‡ **1:44** μωσης **f**35 A,C [85%] HF,RP,CP,TR ¦ μωυσης אB,D,W [15%] OC,NU § **1:45** εν **f**35 A,C,D [99%] HF,RP,CP,TR,OC ¦ επ אB,W [1%] NU * **1:45** πανταχοθεν **f**35 [90%] HF,RP,CP,TR,OC ¦ παντοθεν אA,B,C,D,W [10%] NU * **2:1** εισηλθεν παλιν **f**35 A,C [92%] HF,RP,CP,OC ¦ εισηλθων 2 אB,D [2%] NU ¦ 21 [5%] TR ¦ 2 ερχεται W ¦ 1 [1%] † **2:1** καπερναουμ **f**35 A,C [98%] HF,RP,CP,TR,OC ¦ καφαρναουμ אB,D,W [2%] NU

δι᾽ ἡμερῶν, καὶ‡ ἠκούσθη ὅτι εἰς οἶκόν§
ἐστιν. 2 Καὶ εὐθέως* συνήχθησαν πολλοὶ ὥστε
μηκέτι χωρεῖν, μηδὲ τὰ πρὸς τὴν θύραν, καὶ
ἐλάλει αὐτοῖς τὸν λόγον. 3 Καὶ ἔρχονται πρὸς
αὐτὸν παραλυτικὸν φέροντες,† αἰρόμενον ὑπὸ
τεσσάρων. 4 Καὶ μὴ δυνάμενοι προσεγγίσαι‡
αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην
ὅπου ἦν· καὶ ἐξορύξαντες χαλῶσιν τὸν
κράββατον§ ἐφ᾽ ᾧ * ὁ παραλυτικὸς κατέκειτο.
5 Ἰδὼν δὲ† ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν λέγει
τῷ παραλυτικῷ, «Τέκνον, ἀφέωνταί‡ σοι αἱ
ἁμαρτίαι σου.»§

6 Ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ
καθήμενοι, καὶ διαλογιζόμενοι ἐν ταῖς
καρδίαις αὐτῶν· 7 «Τί οὗτος οὕτως λαλεῖ

---

‡ **2:1** και **f**[35] A,C,D,W [95%] HF,RP,CP,TR,OC ¦ — אB [5%] NU § **2:1** εις οικον **f**[35] A,C (98.7%) HF,RP,CP,TR,OC ¦ εν οικω 𝔭[88]אB,D,W (1%) NU ¦ one other variant (0.2%) * **2:2** ευθεως **f**[35] A,C,D [99%] HF,RP,CP,TR,OC ¦ — 𝔭[88v]אB,W [1%] NU † **2:3** προς αυτον παραλυτικον φεροντες **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ 1243 C,D(W) [3%] ¦ 4123 𝔭[88]אB [1%] NU ‡ **2:4** προσεγγισαι **f**[35] A,C(D) [99%] HF,RP,CP,TR,OC ¦ προσενεγκαι אB [1%] NU ¦ προσελθειν W § **2:4** κραββατον **f**[35] [65%] HF,RP,CP,TR ¦ κραβαττον A,C,D,W [33%] OC,NU ¦ κραβακτον א ¦ κραβατον B [1%] ¦ κραβατγον [1%] (A similar statement obtains in verses 9, 11, 12.) * **2:4** εφ ω **f**[35] A,C [97%] HF,RP,CP,TR,OC ¦ εφ ου [1%] ¦ εφ ο [1%] ¦ οπου אB(D) [1%] NU ¦ εις ον W † **2:5** ιδων δε **f**[35] A,D,W [98%] HF,RP,CP,TR,OC ¦ και ιδων 𝔭[88]אB,C [2%] NU ‡ **2:5** αφεωνται **f**[35] 𝔭[88]אA,C,D,W [98%] HF,RP,CP,TR,OC ¦ αφεονται [1%] ¦ αφιενται B [1%] NU § **2:5** σοι αι αμαρτιαι σου **f**[35] (A) [92%] HF,RP,CP,TR,OC ¦ 123 C [1%] ¦ 4234 [4%] ¦ 423 𝔭[88v]אB,D,W [3%] NU

βλασφημίας;* Τίς δύναται ἀφιέναι ἁμαρτίας
εἰ μὴ εἷς, ὁ Θεός;» 8 Καὶ εὐθέως† ἐπιγνοὺς ὁ
Ἰησοῦς τῷ πνεύματι αὐτοῦ ὅτι οὕτως αὐτοὶ‡
διαλογίζονται ἐν ἑαυτοῖς εἶπεν§ αὐτοῖς·
«Τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις
ὑμῶν; 9 Τί ἐστιν εὐκοπώτερον· εἰπεῖν τῷ
παραλυτικῷ, ‹Ἀφέωνταί* σου† αἱ ἁμαρτίαι,› ἢ
εἰπεῖν, ‹Ἔγειραι‡ καὶ ἆρον τὸν κράββατόν σου§
καὶ περιπάτει›; 10 Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν
ἔχει ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι
ἁμαρτίας»*—λέγει τῷ παραλυτικῷ· 11 «Σοὶ
λέγω, ἔγειραι† καὶ‡ ἆρον τὸν κράββατόν
σου καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.» 12 Καὶ

---

* **2:7** βλασφημιας **f35** A,C,W [99.5%] HF,RP,CP,TR,OC ¦ βλασφημει 𝔓88אB,D [0.5%] NU † **2:8** ευθεως **f35** A,C [98%] HF,RP,CP,TR,OC ¦ ευθυς 𝔓88vאB [1%] NU ¦ — D,W [1%] ‡ **2:8** αυτοι **f35** A,C [90%] HF,RP,CP,OC ¦ — 𝔓88vאB,D,W [10%] TR,NU § **2:8** ειπεν **f35** A,C,D [99%] HF,RP,CP,TR,OC ¦ λεγει אB(W) [1%] NU * **2:9** αφεωνται **f35** A,C(D)W [99%] HF,RP,CP,TR,OC ¦ αφιενται אB [1%] NU ¦ three other variants † **2:9** σου **f35** 𝔓88אB,W [90%] HF,RP,CP,OC,NU ¦ σοι A,C(D) [10%] TR ‡ **2:9** εγειραι **f35** [65%] HF,RP,CP,TR ¦ εγειρε אA,C(D)W [34%] OC,NU ¦ εγειρου B [1%] § **2:9** τον κραββατον σου **f35** 𝔓88אA,B,C(D) [40%] CP,OC,NU ¦ 312 [59%] HF,RP,TR ¦ — W [1%] * **2:10** επι της γης αφιεναι αμαρτιας **f35** 𝔓88אC,D (47.7%) ¦ 41235 A (46.6%) HF,RP,CP,TR,OC ¦ 45123 B (3.2%) NU ¦ 45 W (1.5%) ¦ long omissions (0.9%) ¦ one other variant † **2:11** σοι λεγω εγειραι **f35** [45%] HF,RP,CP,TR ¦ 12 εγειρε A,B,C,D [54%] OC,NU ¦ εγειρε 12 𝔓88vא ¦ εγειρε W [1%] ¦ two other variants ‡ **2:11** και **f35** A,W [98%] HF,RP,CP,TR,OC ¦ — 𝔓88אB,C,D [2%] NU

ἠγέρθη εὐθέως καὶ§ ἄρας τὸν κράββατον ἐξῆλθεν ἐναντίον* πάντων· ὥστε ἐξίστασθαι πάντας καὶ δοξάζειν τὸν Θεόν, λέγοντας ὅτι «Οὐδέποτε οὕτως† εἴδομεν.»

### *Matthew called*

13 Καὶ ἐξῆλθεν πάλιν παρὰ τὴν θάλασσαν·
καὶ πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτόν, καὶ
ἐδίδασκεν αὐτούς. 14 Καὶ παράγων,‡ εἶδεν§
Λευὶν* τὸν τοῦ Ἀλφαίου καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ λέγει αὐτῷ, «Ἀκολούθει μοι.» Καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ.

15 Καὶ ἐγένετο,† ἐν τῷ‡ κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ· ἦσαν γὰρ πολλοὶ καὶ
ἠκολούθησαν§ αὐτῷ. 16 Καὶ οἱ γραμματεῖς καὶ

---

§ **2:12** ευθεως και **f**35 A(D) [98%] HF,RP,CP,TR,OC ¦ 21 C [1%] ¦ 2 ευθυς 𝔭88אB [1%] NU ¦ 2 W [1%] * **2:12** εναντιον **f**35 A,C,D [98%] HF,RP,CP,TR,OC ¦ ενωπιον [1%] ¦ εμπροσθεν 𝔭88אB(W) [1%] NU † **2:12** ουδεποτε ουτως **f**35 A,C [99%] HF,RP,CP,TR,OC ¦ 21 𝔭88אB,D,W [1%] NU ‡ **2:14** παραγων *rell* ¦ 1 ο ιησους [15%] § **2:14** ειδεν *rell* ¦ ιδεν A,C [10%] * **2:14** λευιν **f**35 𝔭88C [70%] HF,CP,TR,OC,NU ¦ λευι A [26.5%] RP ¦ λευειν B,W [2%] ¦ λευει א ¦ six further variations based on Levi [0.6%] ¦ ιακωβον D (0.9%) (*TuT* has garbled the evidence here.) † **2:15** εγενετο **f**35 A,C,D [99%] HF,RP,CP,TR,OC ¦ γινεται 𝔭88א(B,W) [1%] NU ‡ **2:15** εν τω **f**35 A,C [98%] HF,RP,CP,TR,OC ¦ — 𝔭88אB(D,W) [2%] NU § **2:15** ηκολουθησαν **f**35 A,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ ηκολουθουν אB [1%] NU

οἱ Φαρισαῖοι,* ἰδόντες αὐτὸν ἐσθίοντα† μετὰ
τῶν τελωνῶν καὶ ἁμαρτωλῶν,‡ ἔλεγον τοῖς
μαθηταῖς αὐτοῦ, «Τί ὅτι§ μετὰ τῶν τελωνῶν
καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει;»* 17 Καὶ
ἀκούσας ὁ Ἰησοῦς λέγει αὐτοῖς·† «Οὐ χρείαν
ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς
ἔχοντες. Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ
ἁμαρτωλοὺς εἰς μετάνοιαν.»‡

### *Fasting*

18 Καὶ ἦσαν οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ
τῶν Φαρισαίων§ νηστεύοντες· καὶ ἔρχονται
καὶ λέγουσιν αὐτῷ, «Διὰ τί οἱ μαθηταὶ
Ἰωάννου καὶ οἱ* τῶν Φαρισαίων νηστεύουσιν,
οἱ δὲ σοὶ μαθηταὶ οὐ νηστεύουσιν;» 19 Καὶ

---

* **2:16** και οι φαρισαιοι **f**35 A,C(D) (99%) HF,RP,CP,TR,OC ¦ των φαρισαιων και 𝔭88vא (0.5%) ¦ των φαρισαιων B,W (0.2%) NU † **2:16** αυτον εσθιοντα **f**35 (A)C (97.7%) HF,RP,CP,TR,OC ¦ οτι εσθιει B (0.3%) NU ¦ οτι ησθιεν 𝔭88א(D) (0.4%) ¦ 1 (1.2%) ¦ five other variants W (0.4%) ‡ **2:16** τελωνων και αμαρτωλων **f**35 א(A)C (98.3%) HF,RP,CP,TR,OC ¦ 321 (𝔭88)B(D) (0.6%) NU ¦ 1 (0.7%) ¦ four other variants W (0.4%) § **2:16** τι οτι **f**35 A (96%) HF,RP,CP,TR,OC ¦ 2 B,C (1.8%) NU ¦ δια 1 אD,W (0.4%) ¦ 1 (0.2%) ¦ long omission (1.4%) ¦ three other variants (0.2%) * **2:16** εσθιει και πινει **f**35 𝔭88A (93.3%) HF,RP,CP,TR,OC ¦ εσθιετε 2 πινετε (0.9%) ¦ 123 ο διδασκολος υμων (C) (4.9%) ¦ 1 B,D,W (0.7%) NU ¦ 1 ο διδασκολος υμων א (0.2%) † **2:17** αυτοις **f**35 אA,C [98%] HF,RP,CP,TR,OC ¦ 1 οτι B [1%] NU ¦ — D,W [1%] ¦ οτι 𝔭88 ‡ **2:17** εις μετανοιαν **f**35 C [90%] HF,RP,CP,TR,OC ¦ — 𝔭88אA,B,D,W [10%] NU § **2:18** των φαρισαιων **f**35 (W) (93.4%) HF,RP,CP,TR,OC ¦ φαρισαιοι 𝔭88אA,B,C,D (6.4%) NU * **2:18** οι **f**35 D [98.5%] HF,RP,CP,TR,OC ¦ 1 μαθηται 𝔭88אB,C [1%] NU ¦ — A,W [0.5%]

εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· «Μὴ δύνανται οἱ υἱοὶ
τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν
ἐστιν, νηστεύειν; Ὅσον χρόνον μεθ᾽ ἑαυτῶν
ἔχουσιν τὸν νυμφίον† οὐ δύνανται νηστεύειν.
20 Ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ᾽
αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν, ἐν
ἐκείναις ταῖς ἡμέραις.‡

### *Cloth and wineskins*

21 »Καὶ§ οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνάφου
ἐπιρράπτει* ἐπὶ ἱματίῳ παλαιῷ,† εἰ δὲ
μή,‡ αἴρει τὸ πλήρωμα αὐτοῦ§ τὸ καινὸν
τοῦ παλαιοῦ, καὶ χεῖρον σχίσμα γίνεται.
22 Καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς
παλαιούς, εἰ δὲ μή, ῥήσσει* ὁ οἶνος ὁ νέος†
τοὺς ἀσκούς, καὶ ὁ οἶνος ἐκχεῖται καὶ οἱ

---

† **2:19** μεθ εαυτων εχουσιν τον νυμφιον **f**[35] A (91.4%) HF,RP,CP,TR,OC ¦ μετ αυτων 345 (1.7%) ¦ 31245 (1.2%) ¦ 3 μετ αυτων 45 (0.5%) ¦ 34512 𝔭[88] (0.3%) ¦ 345 μετ αυτων אB,C (0.7%) NU ¦ 12 εστιν 45 (0.2%) ¦ μετ αυτων 45 (0.3%) ¦ — D,W (3.4%) ¦ three further variants (0.3%) ‡ **2:20** εκαιναις ταις ημεραις **f**[35] [85%] HF,RP,CP,TR,OC ¦ εκεινη τη ημερα אA,B,C,D,W [15%] NU § **2:21** και **f**[35] [75%] HF,RP,CP,TR ¦ — אA,B,C,W [23%] OC,NU ¦ δε D [2%] * **2:21** επιρραπτει **f**[35] [80%] HF,RP,CP,TR,OC ¦ επιραπτει אA,B,C [20%] NU ¦ επισυνραπει D(W) † **2:21** ιματιω παλαιω **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ ιματιον παλαιον 𝔭[88]אB,C,D [1%] NU ‡ **2:21** μη *rell* ¦ μηγε [5%] OC § **2:21** το πληρωμα αυτου **f**[35] C [93%] HF,RP,CP,TR,OC ¦ 12 απ 3 [3%] NU ¦ απ 312 A,W [3%] ¦ 12 D [1%] ¦ 2 απ 3 א ¦ 12 αφ εαυτου B * **2:22** ρησσει **f**[35] A [98%] HF,RP,CP,TR,OC ¦ ρηξει 𝔭[88]אB,C,D [2%] NU ¦ διαρρησσονται W † **2:22** ο νεος **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ — 𝔭[88]אB,C,D(W) [4%] NU

ἀσκοὶ ἀπολοῦνται·‡ ἀλλὰ οἶνον νέον εἰς
ἀσκοὺς καινοὺς βλητέον.»§

### *Jesus is Lord of the Sabbath*

23 Καὶ ἐγένετο παραπορεύεσθαι αὐτόν, ἐν
τοῖς σάββασιν,* διὰ τῶν σπορίμων, καὶ
ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ† ὁδὸν ποιεῖν,
τίλλοντες τοὺς στάχυας. 24 Καὶ οἱ Φαρισαῖοι
ἔλεγον αὐτῷ, «Ἴδε, τί ποιοῦσιν ἐν‡ τοῖς
σάββασιν ὃ οὐκ ἔξεστιν;» 25 Καὶ αὐτὸς ἔλεγεν§
αὐτοῖς· «Οὐδέποτε ἀνέγνωτε τί ἐποίησεν
Δαυίδ, ὅτε χρείαν ἔσχεν καὶ ἐπείνασεν, αὐτὸς
καὶ οἱ μετ᾽ αὐτοῦ; 26 Πῶς εἰσῆλθεν εἰς τὸν
οἶκον τοῦ Θεοῦ (ἐπὶ Ἀβιάθαρ* ἀρχιερέως)
καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς
οὐκ ἔξεστιν φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσιν,†
καὶ ἔδωκεν καὶ τοῖς σὺν αὐτῷ οὖσιν;»

---

‡ **2:22** εκχειται και οι ασκοι απολουνται **f**35 ℵA,C(W) [99.5%] HF,RP,CP,TR,OC ¦ 2345 D ¦ απολλυται 234 𝔭88B [0.5%] NU § **2:22** βλητεον **f**35 𝔭88A,C (99.4%) HF,RP,CP,TR,OC ¦ — ℵB (0.3%) NU ¦ βαλλουσιν W ¦ long omission D (0.2%) * **2:23** παραπορευεσθαι αυτον εν τοις σαββασιν **f**35 A [90%] HF,RP,CP,TR,OC ¦ 1245 [6%] ¦ 23451 (διαπορευεσθαι B,D πορευεσθαι W) 𝔭88ℵ(B,D,W) [3%] NU ¦ 45 διαπορευεσθαι 2 C [1%] ¦ at least four further variations † **2:23** ηρξαντο οι μαθηται αυτου **f**35 A [97%] HF,RP,CP,TR,OC ¦ 2341 𝔭88ℵB,C(D)W [3%] NU ‡ **2:24** εν **f**35 [95%] HF,RP,CP,TR,OC ¦ — ℵ(A)B,C,D,W [5%] NU § **2:25** αυτος ελεγεν **f**35 A [96.5%] HF,RP,CP,TR,OC ¦ 1 λεγει [0.5%] ¦ 2 𝔭88B [0.5%] ¦ λεγει ℵC,W [2%] NU ¦ αποκριθεις ειπεν D [0.5%] * **2:26** αβιαθαρ **f**35 𝔭88ℵB (83.7%) HF,RP,OC,NU ¦ 1 του A,C (15.8%) CP,TR ¦ — D,W (0.4%) † **2:26** τοις ιερευσιν **f**35 A,C,(D,W) [97%] HF,RP,CP,TR,OC ¦ 12 μονοις [2%] ¦ 1 αρχιερευσιν [0.5%] ¦ τους ιερεις ℵB [0.5%] NU

27 Καὶ ἔλεγεν αὐτοῖς· «Τὸ σάββατον διὰ τὸν
ἄνθρωπον ἐγένετο,‡ οὐχ ὁ ἄνθρωπος διὰ τὸ
σάββατον. 28 Ὥστε Κύριός ἐστιν ὁ Υἱὸς τοῦ
Ἀνθρώπου καὶ τοῦ σαββάτου.»

# 3

## *A Sabbath healing—the rejection*

1 Καὶ εἰσῆλθεν πάλιν εἰς τὴν συναγωγήν,
καὶ ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων
τὴν χεῖρα. 2 Καὶ παρετήρουν αὐτόν, εἰ
τοῖς σάββασιν θεραπεύσει αὐτόν, ἵνα
κατηγορήσωσιν αὐτοῦ. 3 Καὶ λέγει τῷ
ἀνθρώπῳ τῷ ἐξηραμμένην ἔχοντι τὴν χεῖρα,*
«Ἔγειραι† εἰς τὸ μέσον.» 4 Καὶ λέγει αὐτοῖς·
«Ἔξεστιν τοῖς σάββασιν ἀγαθοποιῆσαι‡ ἢ
κακοποιῆσαι, ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι;»§
Οἱ δὲ ἐσιώπων. 5 Καὶ περιβλεψάμενος αὐτοὺς
μετ᾽ ὀργῆς, συλλυπούμενος ἐπὶ τῇ πωρώσει
τῆς καρδίας αὐτῶν, λέγει τῷ ἀνθρώπῳ,
«Ἔκτεινον τὴν χεῖρά σου.»* Καὶ ἐξέτεινεν,

---

‡ **2:27** εγενετο **f**35 A (98.6%) HF,RP,CP,TR,OC ¦ 1 και ℵB,C (0.9%) NU ¦ εκτισθη W (0.5%) ¦ — D * **3:3** εξηραμμενην εχοντι την χειρα **f**35 A (94.4%) HF,RP,CP,TR,OC ¦ 1 εχων 34 (3.1%) ¦ 1 εχοντα 34 (0.5%) ¦ 2341 D (0.3%) ¦ 3421 (0.2%) ¦ 342 ξηραν B (0.4%) ¦ 3 ξηραν 42 ℵC (0.3%) NU ¦ ξηραν 234 (0.3%) ¦ two other variations W (0.2%) ¦ long omission (0.2%) † **3:3** εγειραι **f**35 [60%] HF,RP,CP,TR ¦ εγειρε ℵA,B,C,D,W [40%] OC,NU ‡ **3:4** αγαθοποιησαι **f**35 A,B,C [99.5%] HF,RP,CP,TR,OC ¦ αγαθον ποιησαι ℵ(D)W,NU § **3:4** αποκτειναι *rell* ¦ απολεσαι W [10%] * **3:5** σου **f**35 ℵA,C,D,W [85%] HF,RP,CP,TR,OC ¦ — B [15%] NU

καὶ ἀποκατεστάθη† ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ
ἄλλη.‡ 6 Καὶ ἐξελθόντες οἱ Φαρισαῖοι εὐθέως§
μετὰ τῶν Ἡρῳδιανῶν συμβούλιον ἐποίουν*
κατ᾽ αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσιν.

### *Healings by the Sea*

7 Καὶ ὁ Ἰησοῦς ἀνεχώρησεν μετὰ τῶν
μαθητῶν αὐτοῦ† πρὸς τὴν θάλασσαν· καὶ πολὺ
πλῆθος ἀπὸ τῆς Γαλιλαίας ἠκολούθησεν‡
αὐτῷ§—καὶ ἀπὸ τῆς Ἰουδαίας 8 καὶ ἀπὸ
Ἱεροσολύμων καὶ ἀπὸ τῆς Ἰδουμαίας καὶ
πέραν τοῦ Ἰορδάνου, καὶ οἱ* περὶ Τύρον καὶ
Σιδῶνα. Πλῆθος πολύ, ἀκούσαντες† ὅσα
ἐποίει, ἦλθον πρὸς αὐτόν. 9 Καὶ εἶπεν τοῖς
μαθηταῖς αὐτοῦ ἵνα πλοιάριον προσκαρτερῇ
αὐτῷ, διὰ τὸν ὄχλον, ἵνα μὴ θλίβωσιν
αὐτόν. 10 Πολλοὺς γὰρ ἐθεράπευσεν, ὥστε

---

† **3:5** αποκατεσταθη **f**[35] D [65%] HF,RP,CP,TR,OC ¦ απεκατεσταθη אA,B(C)W [35%] NU ‡ **3:5** υγιης ως η αλλη **f**[35] [95%] HF,RP,CP,TR,OC ¦ — אA,B,C(D)W [5%] NU § **3:6** ευθεως **f**[35] A [98%] HF,RP,CP,TR,OC ¦ ευθυς אB,C [1%] NU ¦ — D,W [1%] * **3:6** εποιουν **f**[35] A (92.7%) HF,RP,CP,TR,OC ¦ εποιησαν אC (5.1%) ¦ ποιουντες D (0.1%) ¦ εποιουντο W (0.6%) ¦ εδιδουν B (1.3%) NU ¦ two other variants (0.2%) † **3:7** ανεχωρησεν μετα των μαθητων αυτου **f**[35] A,W [97%] HF,RP,CP,TR,OC ¦ 23451 אB,C,D [3%] NU ‡ **3:7** ηκολουθησεν **f**[35] A,B (46.1%) CP[NU] ¦ ηκολουθησαν (אC) (52.5%) HF,RP,TR,OC ¦ ηκολουθουν (0.5%) ¦ — D,W (0.5%) ¦ ηκολουθη (0.2%) ¦ long omission (0.2%) § **3:7** αυτω **f**[35] A (98.6%) HF,RP,CP,TR,OC ¦ — אB,C(D,W) (1%) NU ¦ two other variants (0.2%) ¦ long omission (0.2%) * **3:8** οι **f**[35] A,D [99%] HF,RP,CP,TR,OC ¦ — (א)B,C,W [1%] NU † **3:8** ακουσαντες **f**[35] A,C,D [97%] HF,RP,CP,TR,OC ¦ ακουοντες אB(W) [3%] NU

ἐπιπίπτειν αὐτῷ ἵνα αὐτοῦ ἅψωνται, ὅσοι
εἶχον μάστιγας. 11 Καὶ τὰ πνεύματα τὰ
ἀκάθαρτα—ὅταν αὐτὸν ἐθεώρει,‡ προσέπιπτεν§
αὐτῷ καὶ ἔκραζεν,* λέγοντα† ὅτι «Σὺ εἶ ὁ Υἱὸς
τοῦ Θεοῦ.» 12 Καὶ πολλὰ ἐπετίμα αὐτοῖς ἵνα
μὴ φανερὸν αὐτὸν‡ ποιήσωσιν.

### *The Twelve Chosen*

13 Καὶ ἀναβαίνει εἰς τὸ ὄρος καὶ
προσκαλεῖται οὓς ἤθελεν αὐτός, καὶ ἀπῆλθον
πρὸς αὐτόν. 14 Καὶ ἐποίησεν δώδεκα,§ ἵνα
ὦσιν μετ᾽ αὐτοῦ καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς
κηρύσσειν 15 —καὶ ἔχειν ἐξουσίαν θεραπεύειν
τὰς νόσους καὶ* ἐκβάλλειν τὰ δαιμόνια. 16 Καὶ†
ἐπέθηκεν τῷ Σίμωνι ὄνομα‡ Πέτρον, 17 καὶ
Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην
τὸν ἀδελφὸν τοῦ Ἰακώβου (καὶ ἐπέθηκεν

---

‡ **3:11** εθεωρει **f**35 A [95%] HF,RP,CP,TR ¦ εθεωρουν ℵB,C,D [5%] OC,NU ¦ ιδον W § **3:11** προσεπιπτεν **f**35 [70%] HF,RP,CP,TR ¦ προσεπιπτον ℵA,C,D,W [30%] OC,NU ¦ προσεπιπταν B * **3:11** εκραζεν **f**35 [70%] HF,RP,CP,TR ¦ εκραζον ℵA,B,C,D,W [29%] OC,NU ¦ three other variants [1%] † **3:11** λεγοντα **f**35 A,B,C [99%] HF,RP,CP,TR,OC ¦ λεγοντες ℵD,W [1%] NU ‡ **3:12** φανερον αυτον **f**35 A [96%] HF,RP,CP,OC ¦ 21 ℵB,C,D,W [4%] TR,NU § **3:14** δωδεκα **f**35 A(D) (98%) HF,RP,CP,TR,OC ¦ 1 ους και αποστολους ωνομασεν ℵB(C)(W) (1.8%) [NU] ¦ long omissions (0.2%) * **3:15** θεραπευειν τας νοσους και **f**35 A,D,W [99%] HF,RP,CP,TR,OC ¦ — ℵB,C [1%] NU † **3:16** και **f**35 A,D (98.8%) HF,RP,CP,TR,OC ¦ 1 εποιησεν τους δωδεκα 1 ℵB,C (0.5%) [NU] ¦ πρωτον σιμωνα (0.5%) ¦ W is wild ‡ **3:16** τω σιμωνι ονομα **f**35 A(D) [98.5%] HF,RP,CP,TR ¦ 312 ℵB,C(W) [1%] OC,NU ¦ ονοματα τω σιμωνι [0.5%]

αὐτοῖς ὀνόματα§ ‹Βοανεργές,›* ὅ ἐστιν ‹Υἱοὶ
βροντῆς›· 18 καὶ Ἀνδρέαν καὶ Φίλιππον καὶ
Βαρθολομαῖον καὶ Ματθαῖον† καὶ Θωμᾶν
καὶ Ἰάκωβον τὸν τοῦ Ἀλφαίου καὶ Θαδδαῖον
καὶ Σίμωνα τὸν Κανανίτην·‡ 19 καὶ Ἰούδαν
Ἰσκαριώτην,§ ὃς καὶ παρέδωκεν αὐτόν.

20 Καὶ ἔρχονται* εἰς οἶκον· καὶ συνέρχεται
πάλιν† ὄχλος, ὥστε μὴ δύνασθαι αὐτοὺς μηδὲ‡
ἄρτον φαγεῖν. 21 Καὶ ἀκούσαντες οἱ παρ᾽
αὐτοῦ ἐξῆλθον κρατῆσαι αὐτόν, ἔλεγον γὰρ
ὅτι «Ἐξέστη.»

### *Scribes blaspheme the Holy Spirit*

22 Καὶ οἱ γραμματεῖς οἱ ἀπὸ Ἱεροσολύμων
καταβάντες ἔλεγον ὅτι «Βεελζεβοὺλ ἔχει,» καὶ
ὅτι «Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει
τὰ δαιμόνια.» 23 Καὶ προσκαλεσάμενος
αὐτοὺς ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς· «Πῶς
δύναται Σατανᾶς Σατανᾶν ἐκβάλλειν; 24 Καὶ
ἐὰν βασιλεία ἐφ᾽ ἑαυτὴν μερισθῇ, οὐ δύναται
σταθῆναι ἡ βασιλεία ἐκείνη. 25 Καὶ ἐὰν οἰκία

---

§ **3:17** ονοματα **f**35 אA,C [99.5%] HF,RP,CP,TR,OC[NU] ¦ ονομα B,D [0.5%] ¦ W is wild * **3:17** βοανεργες **f**35 [95%] HF,RP,CP,TR,OC ¦ βοανηργες אA,B,C [5%] NU ¦ βοανεργης D ¦ βοαναυηργε W † **3:18** ματθαιον **f**35 אA,C [99.5%] HF,RP,CP,TR,OC ¦ μαθθαιον B,D,NU ¦ μαθθεος W ‡ **3:18** κανανιτην **f**35 (A) [99%] HF,RP,CP,TR,OC ¦ καναναιον אB,C,D [1%] NU ¦ καναανεος W § **3:19** ισκαριωτην **f**35 A(W) (98.8%) HF,RP,CP,TR,OC ¦ ισκαριωθ אB,C (0.9%) NU ¦ σκαριωθ D ¦ — (0.2%) * **3:20** ερχονται **f**35 A,C [99.5%] HF,RP,CP,TR,OC ¦ ερχεται אB,W [0.5%] NU ¦ εισερχονται D † **3:20** παλιν **f**35 אC,W (92.4%) HF,RP,CP,TR,OC ¦ 1 ο A,B,D (7.5%) [NU] ‡ **3:20** μηδε **f**35 A,B,W [30%] OC,NU ¦ μητε אC,D [70%] HF,RP,CP,TR

ἐφ᾽ ἑαυτὴν μερισθῇ, οὐ δύναται§ σταθῆναι ἡ
οἰκία ἐκείνη.* 26 Καὶ εἰ ὁ Σατανᾶς ἀνέστη
ἐφ᾽ ἑαυτὸν καὶ μεμέρισται,† οὐ δύναται
σταθῆναι,‡ ἀλλὰ τέλος ἔχει. 27 Οὐδεὶς
δύναται§ τὰ σκεύη τοῦ ἰσχυροῦ, εἰσελθὼν εἰς
τὴν οἰκίαν* αὐτοῦ, διαρπάσαι, ἐὰν μὴ πρῶτον
τὸν ἰσχυρὸν δήσῃ—καὶ τότε τὴν οἰκίαν αὐτοῦ
διαρπάσῃ.†
28 »Ἀμὴν λέγω ὑμῖν ὅτι πάντα ἀφεθήσεται τὰ
ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀνθρώπων,‡ καὶ§
βλασφημίαι ὅσας* ἂν† βλασφημήσωσιν· 29 ὃς
δ᾽ ἂν βλασφημήσῃ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον οὐκ
ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλ᾽‡ ἔνοχός ἐστιν

---

§ **3:25** δυναται **f**$^{35}$ A,D,W [99%] HF,RP,CP,TR,OC ¦ δυνησεται אB,C [1%] NU * **3:25** σταθηναι η οικια εκεινη **f**$^{35}$ A [96.5%] HF,RP,CP,TR,OC ¦ στηναι 234 [2%] ¦ 1 W ¦ 2341 א,C [0.5%] NU ¦ 234 στηναι B [1%] ¦ 234 εσταναι D † **3:26** και μεμερισται **f**$^{35}$ A [99%] HF,RP,CP,TR,OC ¦ 2 D ¦ 1 εμερισθη B [0.5%] NU ¦ εμερισθη 1 א,C ¦ εμερισθη W ‡ **3:26** σταθηναι **f**$^{35}$ A [98.5%] HF,RP,CP,TR,OC ¦ 1 η βασιλεα αυτου D,W [0.5%] ¦ στηναι א,B,C [1%] NU § **3:27** ουδεις δυναται **f**$^{35}$ A,D,W [97%] HF,RP,CP,OC ¦ αλλ 12 [2%] ¦ αλλ ου 21 אB,C [0.5%] NU ¦ ου 21 TR ¦ two other variants * **3:27** τα σκευη του ισχυρου εισελθων εις την οικιαν **f**$^{35}$ A,D(W) [99%] HF,RP,CP,TR,OC ¦ 67834512 B,C [1%] NU ¦ 56783412 א † **3:27** διαρπαση **f**$^{35}$ A,W [60%] HF,RP,CP ¦ διαρπασει אB,C [40%] TR,OC,NU ¦ διαρπαζει D ‡ **3:28** τα αμαρτηματα τοις υιοις των ανθρωπων **f**$^{35}$ (W) [96%] HF,RP,CP,TR ¦ 345612 אA,B,C,D [3%] OC,NU ¦ three other variants [1%] § **3:28** και **f**$^{35}$ D [90%] HF,RP,CP,TR ¦ 1 αι אA,B,C,W [10%] OC,NU * **3:28** οσας **f**$^{35}$ A,C [95%] HF,RP,CP,TR,OC ¦ οσα אB,D [5%] NU ¦ — W † **3:28** αν **f**$^{35}$ אA,D [97%] HF,RP,CP,TR ¦ εαν B,C [3%] OC,NU ¦ — W ‡ **3:29** αλλ *rell* ¦ αλλα אA,D,W [1%] NU

αἰωνίου κρίσεως»§ 30 —ὅτι ἔλεγον, «Πνεῦμα
ἀκάθαρτον ἔχει.»

# Jesus goes on the offensive

*New relationships*

31 Ἔρχονται οὖν* οἱ ἀδελφοὶ καὶ ἡ μήτηρ
αὐτοῦ,† καὶ ἔξω ἑστῶτες‡ ἀπέστειλαν πρὸς
αὐτόν, φωνοῦντες§ αὐτόν. 32 Καὶ ἐκάθητο
ὄχλος περὶ αὐτόν·* εἶπον δὲ† αὐτῷ, «Ἰδού, ἡ
μήτηρ σου καὶ οἱ ἀδελφοί σου καὶ αἱ ἀδελφαί
σου‡ ἔξω ζητοῦσίν σε.» 33 Καὶ ἀπεκρίθη αὐτοῖς
λέγων,§ «Τίς ἐστιν ἡ μήτηρ μου ἢ * οἱ ἀδελφοί

---

§ **3:29** κρισεως **f**[35] A (97.3%) HF,RP,CP,TR,OC ¦ αμαρτηματος ℵB (0.7%) NU ¦ αμαρτιας C[V]D,W (0.6%) ¦ κολασεως (1%) ¦ three other variants (0.4%) * **3:31** ερχονται ουν **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ ερχεται και ℵD,W [1.5%] NU ¦ και 1 B,C [1.5%] ¦ two other variants † **3:31** οι αδελφοι και η μητηρ αυτου **f**[35] (81.4%) HF,RP,CP,TR ¦ 1263456 A (13.5%) ¦ 456312 (1.5%) ¦ 453126 (0.7%) ¦ 4563126 ℵB,C,D(W) (2.8%) OC,NU ¦ three other variants (0.2%) ‡ **3:31** εστωτες **f**[35] A,D,W [98.5%] HF,RP,CP,TR,OC ¦ στηκοντες B,C [0.5%] NU ¦ εστηκοτες [1%] ¦ σταντες ℵ § **3:31** φωνουντες **f**[35] D (96.9%) HF,RP,CP,TR,OC ¦ καλουντες ℵB,C,W (1.7%) NU ¦ ζητουντες A ¦ — (1.4%) * **3:32** οχλος περι αυτον **f**[35] [85%] HF,RP,CP,TR ¦ 231 A,B,C,W [15%] OC,NU ¦ προς 31 ℵ ¦ προς τον οχλον D † **3:32** ειπον δε **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ ειποντων 2 [1%] ¦ και λεγουσιν ℵB,C,D,W [2%] NU ‡ **3:32** και αι αδελφαι σου **f**[35] A,D (70.9%) HF,RP,CP[NU] ¦ — ℵB,C,W (28.9%) TR,OC ¦ long omissions (0.1%) (A not very difficult case of homoioteleuton.) § **3:33** απεκριθη αυτοις λεγων **f**[35] A,D [97%] HF,RP,CP,TR,OC ¦ 12 και λεγει [2%] ¦ αποκριθεις 2 λεγει ℵB(C) [1%] NU ¦ αποκριθεις και ειπεν 2 W * **3:33** η **f**[35] A(D) [60%] HF,RP,CP,TR,OC ¦ και ℵB,C(W) [40%] NU

μου;»† 34 Καὶ περιβλεψάμενος κύκλῳ τοὺς περὶ
αὐτὸν‡ καθημένους λέγει· «Ἰδοὺ§ ἡ μήτηρ μου
καὶ οἱ ἀδελφοί μου. 35 Ὃς γὰρ* ἂν ποιήσῃ
τὸ θέλημα τοῦ Θεοῦ, οὗτος ἀδελφός μου καὶ
ἀδελφή μου† καὶ μήτηρ μού ‡ ἐστιν.»

# 4

*Many parables*

1 Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν
θάλασσαν. Καὶ συνήχθη* πρὸς αὐτὸν ὄχλος
πολύς,† ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ πλοῖον‡
καθῆσθαι, ἐν τῇ θαλάσσῃ, καὶ πᾶς ὁ ὄχλος
πρὸς τὴν θάλασσαν, ἐπὶ τῆς γῆς, ἦν.§ 2 Καὶ
ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλά, καὶ
ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ·

*Parable of the soils*

† **3:33** μου **f**35 ℵA,C,W [99.8%] HF,RP,CP,TR,OC[NU] ¦ — B,D ‡ **3:34** κυκλω τους περι αυτον **f**35 A [97%] HF,RP,CP,TR,OC ¦ 2134 [2%] ¦ 2341 ℵB,C [1%] NU ¦ 21 D ¦ 1 αυτου 2 (W) § **3:34** ιδου **f**35 A,D [50%] ¦ ιδε B,C [50%] HF,RP,CP,TR,OC,NU ¦ ειδε ℵW * **3:35** ος γαρ **f**35 ℵA,C,D (99.4%) HF,RP,CP,TR,OC[NU] ¦ 1 B (0.3%) ¦ και 1 W ¦ four other variants (0.2%) † **3:35** μου **f**35 C [90%] HF,RP,CP,TR,OC ¦ — ℵA,B,D,W [10%] NU ‡ **3:35** μου **f**35 [35%] ¦ — ℵA,B,C,D,W [65%] HF,RP,CP,TR,OC,NU * **4:1** συνηχθη **f**35 D,W [97%] HF,RP,CP,TR,OC ¦ συναγεται ℵB,C [1.5%] NU ¦ συνηχθησαν A [1%] ¦ three other variants [0.5%] † **4:1** πολυς **f**35 A,D [99%] HF,RP,CP,TR,OC ¦ πλειστος ℵB,C,W [1%] NU ‡ **4:1** εμβαντα εις το πλοιον **f**35 A [96%] HF,RP,CP,TR,OC ¦ 2341 D,W [0.5%] ¦ 124 [2.5%] ¦ 241 ℵB,C [1%] NU § **4:1** ην **f**35 A,D,W [99%] HF,RP,CP,TR ¦ ησαν ℵB,C [1%] OC,NU

3 «Ἀκούετε· ἰδού, ἐξῆλθεν ὁ σπείρων τοῦ*
σπεῖραι. 4 Καὶ ἐγένετο, ἐν τῷ σπείρειν, ὃ
μὲν ἔπεσεν παρὰ† τὴν ὁδόν, καὶ ἦλθεν‡ τὰ
πετεινὰ§ καὶ κατέφαγεν αὐτό. 5 Ἄλλο δὲ*
ἔπεσεν ἐπὶ τὸ πετρῶδες ὅπου οὐκ εἶχεν γῆν
πολλήν, καὶ εὐθέως† ἐξανέτειλεν διὰ τὸ μὴ
ἔχειν βάθος γῆς. 6 Ἡλίου δὲ ἀνατείλαντος‡
ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν
ἐξηράνθη. 7 Καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας,
καὶ ἀνέβησαν αἱ ἄκανθαι καὶ συνέπνιξαν
αὐτό, καὶ καρπὸν οὐκ ἔδωκεν. 8 Καὶ ἄλλο§
ἔπεσεν εἰς τὴν γῆν τὴν καλήν, καὶ ἐδίδου
καρπὸν ἀναβαίνοντα καὶ αὐξάνοντα*—καὶ
ἔφερεν ἐν† τριάκοντα καὶ ἐν‡ ἑξήκοντα καὶ ἐν§
ἑκατόν.» 9 Καὶ ἔλεγεν,* «Ὁ ἔχων† ὦτα ἀκούειν,

---

* **4:3** του **f35** A,C [99.5%] HF,RP,CP,TR,OC ¦ — ℵB(D)W [0.5%] NU
† **4:4** παρα *rell* ¦ επι [1%] OC ‡ **4:4** ηλθεν *rell* ¦ ηλθον [3%] OC
§ **4:4** πετεινα **f35** ℵA,B,C [95%] HF,RP,CP,OC,NU ¦ 1 του ουρανου D [5%] TR * **4:5** αλλο δε **f35** A [97.5%] HF,RP,CP,TR ¦ και 1 ℵB,C [1%] OC,NU ¦ και αλλα D [0.5%] ¦ αλλα 1 W [1%] † **4:5** ευθεως **f35** A,W [99.5%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C,D [0.5%] NU ‡ **4:6** ηλιου δε ανατειλαντος **f35** A,W [99%] HF,RP,CP,TR,OC ¦ και οτε ανετειλεν ο ηλιος ℵB,C,D [1%] NU § **4:8** αλλο **f35** A,D [99%] HF,RP,CP,TR,OC ¦ αλλα ℵB,C,W [1%] NU * **4:8** αυξανοντα **f35** C [98.5%] HF,RP,CP,TR,OC ¦ αυξανομενα ℵB [0.5%] NU ¦ αυξανομενον A,D,W [1%] † **4:8** ἐν **f35** [97%] RP,OC ¦ ἑν [2%] HF,CP,TR,NU ¦ εις ℵB,CV [0.5%] ¦ το εν W (uncials without breathing are ambiguous) ‡ **4:8** εν **f35** [97%] RP,OC ¦ ἑν [2%] HF,CP,TR,NU ¦ εις ℵCV [0.5%] ¦ το εν W § **4:8** *Ibid.* * **4:9** ελεγεν **f35** ℵA,B,C,D,W [95%] HF,RP,CP,NU ¦ 1 αυτοις [5%] TR,OC
† **4:9** ο εχων **f35** A,W [99.5%] HF,RP,CP,TR,OC ¦ ος εχει ℵB,C,D [0.5%] NU

ἀκουέτω.»

### *The why of parables*

10 Ὅτε δὲ‡ ἐγένετο κατὰ μόνας, ἠρώτησαν§
αὐτὸν οἱ περὶ αὐτόν, σὺν τοῖς δώδεκα, τὴν
παραβολήν.* 11 Καὶ ἔλεγεν αὐτοῖς· «Ὑμῖν
δέδοται γνῶναι τὸ μυστήριον† τῆς βασιλείας
τοῦ Θεοῦ· ἐκείνοις δὲ τοῖς ἔξω ἐν παραβολαῖς
τὰ πάντα γίνεται, 12 ἵνα· ‹Βλέποντες βλέπωσιν,
καὶ μὴ ἴδωσιν· καὶ ἀκούοντες ἀκούωσιν, καὶ
μὴ συνιῶσιν· μήποτε ἐπιστρέψωσιν καὶ ἀφεθῇ
αὐτοῖς τὰ ἁμαρτήματα.› »‡

### *'The soils' explained*

13 Καὶ λέγει αὐτοῖς· «Οὐκ οἴδατε τὴν
παραβολὴν ταύτην; Καὶ πῶς πάσας τὰς
παραβολὰς γνώσεσθε; 14 Ὁ σπείρων τὸν
λόγον σπείρει. 15 Οὗτοι δέ εἰσιν οἱ παρὰ
τὴν ὁδὸν ὅπου σπείρεται ὁ λόγος· καὶ ὅταν
ἀκούσωσιν, εὐθέως§ ἔρχεται ὁ Σατανᾶς
καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον ἐν

---

‡ **4:10** οτε δε **f**35 A [98%] HF,RP,CP,TR,OC ¦ και οτε אB,C,D,W [2%] NU § **4:10** ηρωτησαν **f**35 [96%] HF,RP,CP,TR,OC ¦ ηρωτων A,B [1%] NU ¦ ηρωτουν אC [0.5%] ¦ επηρωτων D [0.5%] ¦ επηρωτησαν W [2%] * **4:10** την παραβολην **f**35 A [97%] HF,RP,CP,TR,OC ¦ τας παραβολας אB,C [1%] NU ¦ τις η παραβολη αυτη D,W [2%] † **4:11** δεδοται γνωναι το μυστηριον **f**35 D [92%] HF,RP,CP,TR ¦ 12 τα μυστηρια [3.5%] OC ¦ 341 אB,CV [0.5%] NU ¦ 134 A,W [4%] ‡ **4:12** τα αμαρτηματα **f**35 A,D [98%] HF,RP,CP,TR,OC ¦ — אB,C,W [2%] NU § **4:15** ευθεως **f**35 A,D [98%] HF,RP,CP,TR ¦ ευθυς אB,C,W [1%] OC,NU ¦ — [1%]

ταῖς καρδίαις αὐτῶν.* 16 Καὶ οὗτοι εἰσιν
ὁμοίως† οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι·
οἵ, ὅταν ἀκούσωσιν τὸν λόγον, εὐθέως‡
μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν, 17 καὶ οὐκ
ἔχουσιν ῥίζαν ἐν ἑαυτοῖς ἀλλὰ πρόσκαιροί
εἰσιν—εἶτα γενομένης θλίψεως ἢ διωγμοῦ
διὰ τὸν λόγον, εὐθέως§ σκανδαλίζονται.
18 Καὶ οὗτοί* εἰσιν οἱ εἰς τὰς ἀκάνθας
σπειρόμενοι·† οἱ τὸν λόγον ἀκούοντες,‡ 19 καὶ
αἱ μέριμναι τοῦ αἰῶνος τούτου§ καὶ ἡ ἀπάτη
τοῦ πλούτου καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι
εἰσπορευόμεναι συμπνίγουσιν τὸν λόγον,
καὶ ἄκαρπος γίνεται. 20 Καὶ οὗτοί* εἰσιν οἱ
ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες· οἵτινες
ἀκούουσιν τὸν λόγον καὶ παραδέχονται

---

* **4:15** εν ταις καρδιαις αυτων $\mathbf{f}^{35}$ D [97%] HF,RP,CP,TR,OC ¦ εις αυτους B,W [2%] NU ¦ 1 αυτοις אC [1%] ¦ απο της καρδιας 4 A † **4:16** εισιν ομοιως $\mathbf{f}^{35}$ A,B (95.8%) HF,RP,CP,TR ¦ 21 אC (1.8%) OC ¦ 1 D,W (2.1%) NU ¦ one other variant (0.1%) ¦ long omissions (0.2%) ‡ **4:16** ευθεως $\mathbf{f}^{35}$ A,W [96%] HF,RP,CP,TR ¦ ευθυς אB,C [2%] OC,NU ¦ — D [2%] § **4:17** ευθεως $\mathbf{f}^{35}$ A,D [97%] HF,RP,TR ¦ ευθυς אB,C(W) [2%] CP,OC,NU ¦ — [1%] * **4:18** ουτοι $\mathbf{f}^{35}$ A [97.5%] HF,RP,CP,TR,OC ¦ αλλοι אB,C,D [0.5%] NU ¦ — W [2%] † **4:18** σπειρομενοι $\mathbf{f}^{35}$ A [90%] HF,RP,CP,OC ¦ 1 ουτοι εισιν אB,C,D,W [10%] TR,NU ‡ **4:18** τον λογον ακουοντες $\mathbf{f}^{35}$ A,W [97%] HF,RP,CP,TR,OC ¦ 12 ακουσαντες B,C,D [3%] NU ¦ ακουσαντες 12 א § **4:19** αιωνος τουτου $\mathbf{f}^{35}$ A [96%] HF,RP,CP,TR,OC ¦ αιωνος אB,C [2%] NU ¦ βιου D,W [2%] * **4:20** ουτοι $\mathbf{f}^{35}$ A,D(W) [99%] HF,RP,CP,TR,OC ¦ εκεινοι אB,C [0.5%] NU ¦ — [0.5%]

καὶ καρποφοροῦσιν—ἐν† τριάκοντα καὶ ἐν‡
ἑξήκοντα καὶ ἐν§ ἑκατόν.»

### *The candlestick*

21 Καὶ ἔλεγεν αὐτοῖς· «Μήτι ὁ λύχνος
ἔρχεται* ἵνα ὑπὸ τὸν μόδιον τεθῇ ἢ ὑπὸ
τὴν κλίνην; Οὐχ ἵνα ἐπὶ τὴν λυχνίαν
ἐπιτεθῇ;† 22 Οὐ γάρ ἐστιν‡ κρυπτὸν ὃ ἐὰν§
μὴ* φανερωθῇ, οὐδὲ ἐγένετο ἀπόκρυφον ἀλλʼ
ἵνα εἰς φανερὸν ἔλθῃ.† 23 Εἴ τις ἔχει ὦτα
ἀκούειν, ἀκουέτω.» 24 Καὶ ἔλεγεν αὐτοῖς·
«Βλέπετε τί ἀκούετε. Ἐν ᾧ μέτρῳ μετρεῖτε
ἀντιμετρηθήσεται‡ ὑμῖν· καὶ προστεθήσεται

---

† **4:20** εν **f**$^{35}$ [99%] RP,OC ¦ ἐν [0.5%] HF,CP,TR,NU ¦ το εν W (uncials without breathing are ambiguous) ‡ **4:20** εν **f**$^{35}$ [99%] RP,OC ¦ ἐν [0.5%] HF,CP,TR,NU ¦ το εν W ¦ — B,C$^{V}$ § **4:20** εν **f**$^{35}$ [99%] RP,OC ¦ ἐν [0.5%] HF,CP,TR,NU ¦ το εν W ¦ — B * **4:21** ο λυχνος ερχεται **f**$^{35}$ A [97%] HF,RP,CP,TR ¦ 312 ℵB,C [2%] OC,NU ¦ ο λυχνος καιεται W [1%] ¦ απτεται ο λυχνος D † **4:21** επιτεθη **f**$^{35}$ A [80%] HF,RP,CP,TR,OC ¦ τεθη ℵB,C,D,W [20%] NU ‡ **4:22** εστιν **f**$^{35}$ B,D,W [50%] OC,NU ¦ 1 τι ℵA,C [50%] HF,RP,CP,TR § **4:22** ο εαν **f**$^{35}$ [93%] HF,RP,CP,TR,OC ¦ 2 ℵA,B,C [1%] NU ¦ 1 ου [1%] ¦ ει [2%] ¦ αλλ D,W ¦ — [3%] ¦ two other variants * **4:22** μη **f**$^{35}$ A,C [97%] HF,RP,CP,TR,OC ¦ 1 ινα ℵB [3%] NU ¦ ινα D,W † **4:22** εις φανερον ελθη **f**$^{35}$ A,W [99%] HF,RP,CP,TR ¦ 312 ℵC,D [1%] OC,NU ¦ φανερωθη B ‡ **4:24** αντιμετρηθησεται **f**$^{35}$ [30%] ¦ μετρηθησεται ℵA,B,C,D,W [69%] HF,RP,CP,TR,OC,NU ¦ — [1%]

ὑμῖν§ τοῖς ἀκούουσιν.* 25 Ὃς γὰρ ἂν ἔχῃ,†
δοθήσεται αὐτῷ, καὶ ὃς οὐκ ἔχει, καὶ ὃ ἔχει
ἀρθήσεται ἀπ᾽ αὐτοῦ.»

### *Spontaneous growth*

26 Καὶ ἔλεγεν· «Οὕτως ἐστὶν ἡ βασιλεία τοῦ
Θεοῦ ὡς ἐὰν‡ ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ
τῆς γῆς 27 καὶ καθεύδῃ καὶ ἐγείρηται§ νύκτα
καὶ ἡμέραν, καὶ ὁ σπόρος βλαστάνῃ* καὶ
μηκύνηται, ὡς οὐκ οἶδεν αὐτός. 28 Αὐτομάτη
γὰρ† ἡ γῆ καρποφορεῖ· πρῶτον χόρτον, εἶτα
στάχυν, εἶτα πλήρη σῖτον‡ ἐν τῷ στάχυϊ.
29 Ὅταν δὲ παραδῷ§ ὁ καρπός, εὐθέως*
ἀποστέλλει τὸ δρέπανον, ὅτι παρέστηκεν ὁ
θερισμός.»

### *The mustard seed*

---

§ **4:24** και προστεθησεται υμιν **f**35 ℵA,B,C (91.9%) HF,RP,CP,TR,OC,NU ¦ 12 (0.8%) ¦ — D,W (7.1%) ¦ long omissions (0.2%) (five variations on the verb garner 0.9%) * **4:24** τοις ακουουσιν **f**35 A (98.3%) HF,RP,CP,TR,OC ¦ — ℵB,C,D,W (1.2%) NU ¦ αυτοις (0.3%) ¦ long omissions (0.2%) † **4:25** αν εχη **f**35 A [90%] HF,RP,CP,TR,OC ¦ εαν 2 [4%] ¦ 1 εχει D [4%] ¦ εχει ℵB,C,W [2%] NU ‡ **4:26** εαν **f**35 A [96.5%] HF,RP,CP,TR ¦ αν C,OC ¦ — ℵB,D(W) [2%] NU ¦ ωσπερ [1%] ¦ οταν [0.5%] § **4:27** εγειρηται *rell* ¦ εγειρεται ℵW [20%] ¦ εγερθη D * **4:27** βλαστανη **f**35 ℵA [90%] HF,RP,CP,TR,OC ¦ βλαστανει [9%] ¦ βλαστα B,C,D,W [1%] NU † **4:28** γαρ **f**35 W [98.5%] HF,RP,CP,TR,OC ¦ — ℵA,B,C [1%] NU ¦ οτι (D) [0.5%] ‡ **4:28** πληρη σιτον **f**35 ℵA [98.5%] HF,RP,CP,TR,OC ¦ πληρης σιτον [0.5%] [NU] ¦ πληρες σιτον C ¦ 1 τον 2 [0.5%] ¦ πληρης ο σειτος D,W ¦ πληρες σειτος B § **4:29** παραδω **f**35 A,C,W [99%] HF,RP,CP,TR,OC ¦ παραδοι ℵB,D [1%] NU * **4:29** ευθεως **f**35 A,D [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C [0.5%] NU ¦ τοτε [0.5%] ¦ — W

30 Καὶ ἔλεγεν· «Τίνι† ὁμοιώσομεν‡ τὴν
βασιλείαν τοῦ Θεοῦ, ἢ ἐν ποίᾳ§ παραβολῇ
παραβάλωμεν αὐτήν;* 31 Ὡς κόκκον†
σινάπεως, ὃς ὅταν σπαρῇ ἐπὶ τῆς γῆς,
μικρότερος‡ πάντων§ τῶν σπερμάτων ἐστὶν*
τῶν ἐπὶ τῆς γῆς, 32 καὶ ὅταν σπαρῇ, ἀναβαίνει
καὶ γίνεται πάντων τῶν λαχάνων μείζων†
καὶ ποιεῖ κλάδους μεγάλους, ὥστε δύνασθαι
ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ
κατασκηνοῦν.»
33 Καὶ τοιαύταις παραβολαῖς πολλαῖς
ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἐδύναντο‡
ἀκούειν. 34 Χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει
αὐτοῖς,§ κατ᾽ ἰδίαν δὲ τοῖς μαθηταῖς αὐτοῦ*
ἐπέλυεν πάντα.

---

† **4:30** τινι **f**35 A,D [98%] HF,RP,CP,TR ¦ πως ℵB,C,W [2%] OC,NU ‡ **4:30** ομοιωσομεν **f**35 C [55%] HF ¦ ομοιωσωμεν ℵA,B,D,W [43%] RP,CP,TR,OC,NU ¦ ομοιωσω [2%] § **4:30** ποια **f**35 A,D [97%] HF,RP,CP,TR ¦ τινι ℵB,C,W [3%] OC,NU * **4:30** παραβολη παραβαλωμεν αυτην **f**35 A,D [97%] HF,RP,CP,TR,OC ¦ 31 θωμεν ℵB,C [3%] NU ¦ την παραβολην δωμεν W † **4:31** κοκκον **f**35 A,C,W [90%] HF,RP,CP,OC ¦ κοκκω ℵB,D [10%] TR,NU ‡ **4:31** μικροτερος **f**35 A,C [95%] HF,RP,CP,TR,OC ¦ μικροτερον B,D,W [5%] NU ¦ ο μικροτερον ℵ § **4:31** παντων **f**35 A,C [98%] HF,RP,CP,TR,OC ¦ ον 1 ℵB [1%] NU ¦ ων 1 W ¦ εστιν 1 D [1%] * **4:31** εστιν **f**35 (A)C [99%] HF,RP,CP,TR,OC ¦ — ℵB,W [1%] NU ¦ α εισιν D † **4:32** παντων των λαχανων μειζων **f**35 [90%] HF,RP,CP,TR ¦ 4123 D [5%] OC ¦ μειζον 123 ℵB,C,W [1%] NU ¦ 123 μειζον A [4%] ‡ **4:33** εδυναντο **f**35 A,D,W [80%] HF,RP,CP ¦ ηδυναντο ℵB,C [20%] TR,OC,NU § **4:34** αυτοις *rell* ¦ 1 τον λογον [1%] OC * **4:34** μαθηταις αυτου **f**35 A,D,W [98.5%] HF,RP,CP,TR,OC ¦ ιδιοις 1 ℵB,C [1%] NU ¦ 1 [0.5%]

### *A supernatural tempest*

35 Καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὀψίας
γενομένης, «Διέλθωμεν εἰς τὸ πέραν.» 36 Καὶ
ἀφέντες τὸν ὄχλον, παραλαμβάνουσιν αὐτόν,
ὡς ἦν ἐν τῷ πλοίῳ (καὶ ἄλλα δὲ† πλοιάρια‡
ἦν μετ᾿ αὐτοῦ). 37 Καὶ γίνεται λαῖλαψ
ἀνέμου μεγάλη,§ τὰ δὲ* κύματα ἐπέβαλεν†
εἰς τὸ πλοῖον, ὥστε αὐτὸ ἤδη γεμίζεσθαι.‡
38 Καὶ ἦν αὐτὸς§ ἐπὶ* τῇ πρύμνῃ, ἐπὶ τὸ
προσκεφάλαιον καθεύδων· καὶ διεγείρουσιν†
αὐτὸν καὶ λέγουσιν αὐτῷ, «Διδάσκαλε, οὐ
μέλει σοι ὅτι ἀπολλύμεθα;» 39 Καὶ διεγερθείς,
ἐπετίμησεν τῷ ἀνέμῳ καὶ εἶπεν τῇ θαλάσσῃ,
«Σιώπα· πεφίμωσο.» Καὶ ἐκόπασεν ὁ ἄνεμος,
καὶ ἐγένετο γαλήνη μεγάλη. 40 Καὶ εἶπεν

---

† **4:36** δε $\mathbf{f}^{35}$ A,D [98%] HF,RP,CP,TR,OC ¦ — אB,C(W) [1%] NU ¦ τα οντα [1%] ‡ **4:36** πλοιαρια $\mathbf{f}^{35}$ [80%] HF,RP,CP,TR ¦ πλοια אA,B,C [20%] OC,NU ¦ πλοιαι D ¦ πολλοι W § **4:37** ανεμου μεγαλη $\mathbf{f}^{35}$ A [96%] HF,RP,CP,TR,OC ¦ 21 $\mathfrak{P}^{45v}$B,D [3%] NU ¦ 1 μεγαλου C [1%] ¦ μεγας 1 א ¦ μεγαλου 1 W * **4:37** τα δε $\mathbf{f}^{35}$ A [96%] HF,RP,CP,TR,OC ¦ και 1 אB,C,D,W [4%] NU † **4:37** επεβαλεν $\mathbf{f}^{35}$ א [70%] HF,CP ¦ επεβαλλεν A,B,C [28%] RP,TR,OC,NU ¦ εβαλεν D ¦ εισεβαλλεν W ¦ επεβαλλον [1%] ¦ three other variants ‡ **4:37** αυτο ηδη γεμιζεσθαι $\mathbf{f}^{35}$ A,W [97%] HF,RP,CP,TR ¦ 23 το πλοιον $\mathfrak{P}^{45v}$B,C,D [1%] NU ¦ 12 βυθιζεσθαι [1%] ¦ 21 βυθιζεσθαι OC ¦ — א ¦ four other variants [1%] § **4:38** ην αυτος $\mathbf{f}^{35}$ A,D,W [99%] HF,RP,CP,TR,OC ¦ 21 אB,C [1%] NU * **4:38** επι $\mathbf{f}^{35}$ [96%] HF,RP,CP,TR,OC ¦ εν אA,B,C,D,W [4%] NU † **4:38** διεγειρουσιν $\mathbf{f}^{35}$ A [97%] HF,RP,CP,TR,OC ¦ εγειρουσιν אB,C [1%] NU ¦ διεγειραντες D,W [1%] ¦ εγειραντες [1%]

αὐτοῖς· «Τί δειλοί ἐστε οὕτως;‡ Πῶς οὐκ§
ἔχετε πίστιν;» 41 Καὶ ἐφοβήθησαν φόβον
μέγαν, καὶ ἔλεγον πρὸς ἀλλήλους, «Τίς ἄρα
οὗτός ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα
ὑπακούουσιν αὐτῷ;»*

# 5

## *The ‘legion’*

1 Καὶ ἦλθον* εἰς τὸ πέραν τῆς θαλάσσης,
εἰς τὴν χώραν τῶν Γαδαρηνῶν.† 2 Καὶ
ἐξελθόντι αὐτῷ‡ ἐκ τοῦ πλοίου, εὐθέως§
ἀπήντησεν* αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος
ἐν πνεύματι ἀκαθάρτῳ 3 —ὃς τὴν οἴκησιν†
εἶχεν ἐν τοῖς μνήμασιν.‡ Καὶ οὔτε§ ἀλύσεσιν*

---

‡ **4:40** ουτως **f**$^{35}$ (𝔭$^{45v}$)A,C,W (98.7%) HF,RP,CP,TR,OC ¦ — ℵB,D (1.3%) NU § **4:40** πως ουκ **f**$^{35}$ A,C (97.4%) HF,RP,CP,TR,OC ¦ 2 (0.5%) ¦ 1 (0.1%) ¦ ουπω 𝔭$^{45v}$ℵB,D (1.9%) NU ¦ — W * **4:41** υπακουουσιν αυτω **f**$^{35}$ A,W (97.1%) HF,RP,CP,TR,OC ¦ 1 αυτου (1.3%) ¦ 1 D ¦ 2 υπακουει ℵC (1.3%) ¦ υπακουει 2 B (0.3%) NU * **5:1** ηλθον *rell* ¦ ηλθεν C [10%] ¦ ηλθαν W † **5:1** γαδαρηνων **f**$^{35}$ A,C (95.5%) HF,RP,CP,TR ¦ γεργεσηνων (4.1%) OC ¦ γερασηνων ℵB,D (0.3%) NU ¦ γεργυστηνων W ‡ **5:2** εξελθοντι αυτω **f**$^{35}$ A [96%] HF,RP,CP,TR ¦ εξελθοντος αυτου ℵB,C [4%] OC,NU ¦ εξελθοντων αυτων D,W § **5:2** ευθεως **f**$^{35}$ A [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵC [1%] NU ¦ — B,W * **5:2** απηντησεν **f**$^{35}$ A,W [95%] HF,RP,CP,TR,OC ¦ υπηντησεν ℵB,C,D [5%] NU † **5:3** οικησιν **f**$^{35}$ [30%] ¦ κατοικησιν ℵA,B,C(D,W) [70%] HF,RP,CP,TR,OC,NU ‡ **5:3** μνημασιν *rell* ¦ μνημειοις D,W [5%] TR § **5:3** ουτε **f**$^{35}$ A [98%] HF,RP,CP,TR,OC ¦ ουδε ℵB,C,D,W [2%] NU * **5:3** αλυσεσιν **f**$^{35}$ A [97%] HF,RP,CP,TR,OC ¦ 1 ουκετι ℵD [2%] ¦ αλυσει ουκετι B,C(W) [1%] NU

οὐδεὶς ἠδύνατο† αὐτὸν δῆσαι, 4 διὰ τὸ αὐτὸν
πολλάκις πέδαις καὶ ἁλύσεσιν δεδέσθαι, καὶ
διεσπάσθαι ὑπ᾽ αὐτοῦ τὰς ἁλύσεις, καὶ
τὰς πέδας συντετρῖφθαι, καὶ οὐδεὶς αὐτὸν
ἴσχυσεν‡ δαμάσαι. 5 Καὶ διὰ παντός, νυκτὸς
καὶ ἡμέρας, ἐν τοῖς μνήμασιν καὶ ἐν τοῖς
ὄρεσιν,§ ἦν κράζων καὶ κατακόπτων ἑαυτὸν
λίθοις. 6 Ἰδὼν δὲ* τὸν Ἰησοῦν ἀπὸ μακρόθεν,
ἔδραμεν καὶ προσεκύνησεν αὐτῷ,† 7 καὶ
κράξας φωνῇ μεγάλῃ εἶπεν·‡ «Τί ἐμοὶ καὶ σοί,
Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; Ὁρκίζω
σε τὸν Θεόν, μή με βασανίσῃς.» 8 Ἔλεγεν
γὰρ αὐτῷ, «Ἔξελθε, τὸ πνεῦμα τὸ ἀκάθαρτον,
ἐκ τοῦ ἀνθρώπου.» 9 Καὶ ἐπηρώτα αὐτόν,
«Τί σοι ὄνομά;»§ Καὶ ἀπεκρίθη, λέγων,*
«Λεγεὼν† ὄνομά μοι, ὅτι πολλοί ἐσμεν.»
10 Καὶ παρεκάλει αὐτὸν πολλὰ ἵνα μὴ αὐτοὺς

---

† **5:3** ηδυνατο **f**$^{35}$ [40%] TR,OC ¦ εδυνατο אA,B,C(D) [60%] HF,RP,CP,NU ¦ εδυναντο W (Attic or Koine?) ‡ **5:4** αυτον ισχυσεν **f**$^{35}$ [25%] ¦ 1 ισχυεν [71%] HF,RP,CP,TR ¦ ισχυεν 1 A,B,C(W) [3%] OC,NU ¦ 21 א [1%] ¦ 1 ισχυν D § **5:5** μνημασιν και εν τοις ορεσιν **f**$^{35}$ אA,B,C [40%] CP,OC,NU ¦ 52341 [57%] HF,RP,TR ¦ 5234 μνημειοις D,W [1%] ¦ μνημειοις 2345 [2%] * **5:6** ιδων δε **f**$^{35}$ A,D,W [97%] HF,RP,CP,TR,OC ¦ και 1 אB,C [3%] NU † **5:6** αυτω *rell* ¦ αυτον A,B,C [2%] OC ‡ **5:7** ειπεν **f**$^{35}$ D [90%] HF,RP,CP,TR ¦ λεγει אA,B,C,W [10%] OC,NU § **5:9** σοι ονομα **f**$^{35}$ (D) [90%] HF,RP,CP,TR ¦ 21 אA,B,C,W [10%] OC,NU * **5:9** απεκριθη λεγων **f**$^{35}$ [90%] HF,RP,CP,TR,OC ¦ λεγει αυτω אA,B,C,W [10%] NU ¦ 1 D † **5:9** λεγεων **f**$^{35}$ A(C)W [99%] HF,RP,CP,TR,OC ¦ λεγιων אB(D) [1%] NU

ἀποστείλῃ‡ ἔξω τῆς χώρας. 11 Ἦν δὲ
ἐκεῖ πρὸς τῷ ὄρει ἀγέλη χοίρων μεγάλη
βοσκομένη.§ 12 Καὶ παρεκάλεσαν αὐτὸν
πάντες οἱ δαίμονες,* λέγοντες, «Πέμψον ἡμᾶς
εἰς τοὺς χοίρους, ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν.»
13 Καὶ ἐπέτρεψεν αὐτοῖς εὐθέως ὁ Ἰησοῦς·†
καὶ ἐξελθόντα τὰ πνεύματα τὰ ἀκάθαρτα
εἰσῆλθον εἰς τοὺς χοίρους, καὶ ὥρμησεν ἡ
ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν
(ἦσαν δὲ‡ ὡς δισχίλιοι), καὶ ἐπνίγοντο ἐν τῇ
θαλάσσῃ.
14 Οἱ δὲ§ βόσκοντες τοὺς χοίρους* ἔφυγον,
καὶ ἀνήγγειλαν† εἰς τὴν πόλιν καὶ εἰς τοὺς
ἀγρούς. Καὶ ἐξῆλθον‡ ἰδεῖν τί ἐστιν τὸ
γεγονός. 15 Καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν καὶ
θεωροῦσιν τὸν δαιμονιζόμενον καθήμενον

---

‡ **5:10** αυτους αποστειλη **f**$^{35}$ D [90%] HF,RP,CP,TR ¦ 21 A [5%] OC ¦ αυτα 2 B,C [0.5%] NU ¦ αυτον 2 ℵ [0.5%] ¦ 2 αυτον W [4%] ¦ one other variant § **5:11** προς τω ορει αγελη χοιρων μεγαλη βοσκομενη **f**$^{35}$ B,C [88%] HF,RP,CP,NU ¦ 456 βοσκομενων 123 A ¦ 124567 ℵ ¦ 1 τα ορη 4567 [3%] TR ¦ 1 το 34567 [2%] ¦ 4561237 W [1%] ¦ 123457 D [1%] ¦ 4567 [0.5%] ¦ 4567123 [3%] OC ¦ at least three further variants * **5:12** παντες οι δαιμονες **f**$^{35}$ A [92%] HF,RP,CP,TR,OC ¦ — ℵB,C(W) [5%] NU ¦ τα δαιμονια D ¦ 23 [2%] ¦ παντα τα δαιμονια [0.5%] † **5:13** ευθεως ο ιησους **f**$^{35}$ A(D) [97%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,W [2%] NU ¦ 23 [1%] ‡ **5:13** ησαν δε **f**$^{35}$ A [98%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,D,W [2%] NU § **5:14** οι δε **f**$^{35}$ D [95%] HF,RP,CP,TR ¦ και οι ℵA,B,C,W [5%] OC,NU * **5:14** τους χοιρους **f**$^{35}$ A [97%] HF,RP,CP,TR,OC ¦ αυτους ℵB,C [3%] NU ¦ αυτος D † **5:14** ανηγγειλαν **f**$^{35}$ W [85%] HF,RP,CP,TR ¦ απηγγειλαν (ℵ)A,B,C,D [15%] OC,NU ‡ **5:14** εξηλθον **f**$^{35}$ ℵC,D,W [90%] HF,RP,CP,TR,OC ¦ ηλθον A,B [10%] NU

καὶ§ ἱματισμένον καὶ σωφρονοῦντα, τὸν
ἐσχηκότα τὸν Λεγεῶνα·* καὶ ἐφοβήθησαν.
16 Διηγήσαντο δὲ† αὐτοῖς οἱ ἰδόντες πῶς
ἐγένετο τῷ δαιμονιζομένῳ, καὶ περὶ τῶν
χοίρων. 17 Καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν
ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν.

18 Καὶ ἐμβάντος‡ αὐτοῦ εἰς τὸ πλοῖον,
παρεκάλει αὐτὸν ὁ δαιμονισθεὶς ἵνα ᾖ μετ᾽
αὐτοῦ.§ 19 Ὁ δὲ Ἰησοῦς* οὐκ ἀφῆκεν αὐτόν,
ἀλλὰ λέγει αὐτῷ, «Ὕπαγε εἰς τὸν οἶκόν σου
πρὸς τοὺς σοὺς καὶ ἀνάγγειλον† αὐτοῖς ὅσα
σοι ὁ Κύριος πεποίηκεν·‡ καὶ ἠλέησέν σε.»
20 Καὶ ἀπῆλθεν καὶ ἤρξατο κηρύσσειν ἐν τῇ
Δεκαπόλει ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς· καὶ
πάντες ἐθαύμαζον.

21 Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ
πλοίῳ§ πάλιν εἰς τὸ πέραν, συνήχθη ὄχλος
πολὺς ἐπ᾽ αὐτόν· καὶ ἦν παρὰ τὴν θάλασσαν.

---

§ **5:15** και **f**[35] A,C [95%] HF,RP,CP,TR,OC ¦ — ℵB,D(W) [5%] NU * **5:15** λεγεωνα **f**[35] A,B,C,W [99%] HF,RP,CP,TR,OC ¦ λεγιωνα ℵ [1%] NU ¦ — D † **5:16** διηγησαντο δε **f**[35] D [85%] HF,RP,CP ¦ και 1 𝔭[45v]ℵA,B,C,W [15%] TR,OC,NU ‡ **5:18** εμβαντος **f**[35] [95%] HF,RP,CP,TR ¦ εμβαινοντος ℵA,B,C(D,W) [5%] OC,NU § **5:18** η μετ αυτου **f**[35] D [85%] HF,RP,CP,TR ¦ 231 ℵA,C,W [15%] OC,NU ¦ 23 ην B * **5:19** ο δε ιησους **f**[35] D [90%] HF,RP,CP,TR ¦ και ℵA,B,C,W [9%] OC,NU ¦ και 13 [1%] † **5:19** αναγγειλον **f**[35] A [96%] HF,RP,CP,TR,OC ¦ απαγγειλον ℵB,C [2%] NU ¦ διαγγειλον 𝔭[45v]D,W [2%] ‡ **5:19** σοι ο κυριος πεποιηκεν **f**[35] A,W [90%] HF,RP,CP,OC ¦ 2314 B,C [0.5%] NU ¦ 2341 ℵ ¦ 123 εποιησεν [9%] TR ¦ 12 θεος εποιησεν D § **5:21** εν τω πλοιω **f**[35] ℵA,C,N(W) (96.9%) HF,RP,CP,TR,OC[NU] ¦ 13 B (0.7%) ¦ — D (2.2%) ¦ εις το πλοιον (0.2%)

### *A hemorrhage and a dead girl*

22 Καὶ ἰδού,* ἔρχεται εἷς τῶν
ἀρχισυναγώγων, ὀνόματι Ἰάειρος, καὶ ἰδὼν
αὐτὸν πίπτει πρὸς τοὺς πόδας αὐτοῦ 23 καὶ
παρεκάλει† αὐτὸν πολλά, λέγων ὅτι «Τὸ
θυγάτριόν μου ἐσχάτως ἔχει· ἵνα ἐλθὼν
ἐπιθῇς αὐτῇ τὰς χεῖρας‡ ὅπως§ σωθῇ, καὶ
ζήσεται.»* 24 Καὶ ἀπῆλθεν μετ᾽ αὐτοῦ. Καὶ
ἠκολούθει αὐτῷ ὄχλος πολύς, καὶ συνέθλιβον
αὐτόν.

### *The hemorrhage*

25 Καὶ γυνή τις† οὖσα—ἐν ῥύσει αἵματος ἔτη
δώδεκα,‡ 26 καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν
ἰατρῶν, καὶ δαπανήσασα τὰ παρ᾽ αὐτῆς§
πάντα, καὶ μηδὲν ὠφεληθεῖσα ἀλλὰ μᾶλλον
εἰς τὸ χεῖρον ἐλθοῦσα— 27 ἀκούσασα περὶ
τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν
ἥψατο τοῦ ἱματίου αὐτοῦ. 28 (Ἔλεγεν

---

* **5:22** ιδου **f**[35] 𝔭[45v]A,C,N,W [99%] HF,RP,CP,TR ¦ — ℵB,D [1%] OC,NU † **5:23** παρεκαλει **f**[35] B,N,W [98%] HF,RP,CP,TR,OC ¦ παρακαλει ℵA,C [2%] NU ¦ παρακαλων D ‡ **5:23** αυτη τας χειρας **f**[35] N [95%] HF,RP,CP,TR,OC ¦ 231 ℵB,C,W [1%] NU ¦ αυτω 23 𝔭[45v]A [2%] ¦ χειρα 1 [1%] ¦ αυτης εκ των χειρων σου D ¦ at lest three further variants § **5:23** οπως **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ ινα ℵB,C,D,W [3%] NU * **5:23** ζησεται **f**[35] A,N,W [97%] HF,RP,CP,TR,OC ¦ ζηση ℵB,C,D [3%] NU † **5:25** τις **f**[35] D,N [98%] HF,RP,CP,TR,OC ¦ — ℵA,B,C,W [2%] NU ‡ **5:25** ετη δωδεκα **f**[35] A,D,N [97%] HF,RP,CP,TR,OC ¦ 21 ℵB,C,W [3%] NU § **5:26** αυτης **f**[35] A,B [90%] HF,RP,CP,NU ¦ εαυτης ℵC,D,N,W [10%] TR,OC

γὰρ* ὅτι «Κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι,†
σωθήσομαι.») 29 Καὶ εὐθέως‡ ἐξηράνθη ἡ
πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι
ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. 30 Καὶ εὐθέως§
ὁ Ἰησοῦς, ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ
δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ
ἔλεγεν, «Τίς μου ἥψατο τῶν ἱματίων;» 31 Καὶ
ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, «Βλέπεις τὸν
ὄχλον συνθλίβοντά σε, καὶ λέγεις, ‹Τίς μου
ἥψατο;› » 32 Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο
ποιήσασαν. 33 Ἡ δὲ γυνή, φοβηθεῖσα καὶ
τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾽* αὐτῇ, ἦλθεν
καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν
τὴν ἀλήθειαν. 34 Ὁ δὲ εἶπεν αὐτῇ· «Θύγατερ,†
ἡ πίστις σου σέσωκέν σε. Ὕπαγε εἰς εἰρήνην
καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.»

### *The dead girl*

35 Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχονται ἀπὸ τοῦ
ἀρχισυναγώγου, λέγοντες ὅτι «Ἡ θυγάτηρ σου
ἀπέθανεν. Τί ἔτι σκύλλεις τὸν διδάσκαλον;»
36 Ὁ δὲ Ἰησοῦς εὐθέως ἀκούσας‡ τὸν λόγον

---

* **5:28** γαρ *rell* ¦ 1 εν εαυτη (D) [10%] OC † **5:28** καν των ιματιων αυτου αψωμαι ( 54 W) **f**[35] A,N(W) [99%] HF,RP,CP,TR ¦ εαν 51 (−κ. B) 23 (του ιματιου ℵ) 4 (ℵB)C [1%] OC,NU ¦ 1 του ιματιου εαυτου D ‡ **5:29** ευθεως **f**[35] A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C [1%] NU § **5:30** *Ibid.*
* **5:33** επ **f**[35] A,N,W [99%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,D [1%] NU
† **5:34** θυγατερ **f**[35] ℵA,N [99%] HF,RP,CP,TR,OC ¦ θυγατηρ B,D,W [1%] NU (C illegible) ‡ **5:36** ευθεως ακουσας **f**[35] A,C [96%] HF,RP,CP,TR,OC ¦ 21 N [1%] ¦ 2 [2%] ¦ παρακουσας (ℵ)B,W [1%] NU ¦ 2 τουτον D

λαλούμενον λέγει τῷ ἀρχισυναγώγῳ, «Μὴ
φοβοῦ· μόνον πίστευε.» 37 Καὶ οὐκ ἀφῆκεν
οὐδένα αὐτῷ§ συνακολουθῆσαι, εἰ μὴ* Πέτρον
καὶ Ἰάκωβον καὶ Ἰωάννην, τὸν ἀδελφὸν
Ἰακώβου. 38 Καὶ ἔρχεται† εἰς τὸν οἶκον
τοῦ ἀρχισυναγώγου καὶ θεωρεῖ θόρυβον‡—
κλαίοντας καὶ ἀλαλάζοντας πολλά. 39 Καὶ
εἰσελθὼν λέγει αὐτοῖς· «Τί θορυβεῖσθε καὶ
κλαίετε; Τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ
καθεύδει.» 40 Καὶ κατεγέλων αὐτοῦ. Ὁ § δὲ
ἐκβαλὼν πάντας,* παραλαμβάνει τὸν πατέρα
τοῦ παιδίου καὶ τὴν μητέρα, καὶ τοὺς μετ᾽
αὐτοῦ, καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον
ἀνακείμενον.† 41 Καὶ κρατήσας τῆς χειρὸς
τοῦ παιδίου λέγει αὐτῇ, «Ταλιθά, κοῦμι,»‡ ὅ
ἐστιν μεθερμηνευόμενον, «Τὸ κοράσιον, σοὶ
λέγω, ἔγειραι.»§ 42 Καὶ εὐθέως* ἀνέστη

---

§ **5:37** ουδενα αυτω **f**35 A(D)N [98%] HF,RP,CP,TR ¦ 21 W [1%] OC ¦ 1 μετ αυτου ℵB,C [1%] NU ¦ 1 αυτων [1%] * **5:37** μη **f**35 A,D,N [99.5%] HF,RP,CP,TR,OC ¦ 1 τον ℵB,C [0.5%] NU ¦ 1 μονον W † **5:38** ερχεται **f**35 N,W [98%] HF,RP,CP,TR,OC ¦ ερχονται ℵA,B,C,D [2%] NU ‡ **5:38** θορυβον **f**35 D [90%] HF,RP,CP,TR ¦ 1 και ℵA,B,C,N,W [10%] OC,NU (OC is in small print) § **5:40** ο **f**35 A,N,W [98%] HF,RP,CP,TR,OC ¦ αυτος ℵB,C,D [2%] NU * **5:40** παντας **f**35 ℵA,B,C,N,W [95%] HF,RP,CP,OC,NU ¦ απαντας [5%] TR ¦ D is wild † **5:40** ανακειμενον **f**35 A,C,N [97%] HF,RP,CP,TR,OC ¦ κατακειμενον W [1%] ¦ κατακεκλιμενον [1%] ¦ — ℵB,D [1%] NU ¦ two other variants ‡ **5:41** κουμι **f**35 (A)(D)N (82.4%) HF,RP,TR,OC ¦ κουμ ℵB,C (17.4%) CP,NU ¦ — W ¦ long omissions (0.1%) § **5:41** εγειραι **f**35 [70%] HF,RP,CP,TR ¦ εγειρε ℵA,B,C,D,N,W [30%] OC,NU * **5:42** ευθεως **f**35 A,C,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB [1%] NU

τὸ κοράσιον καὶ περιεπάτει (ἦν γὰρ ἐτῶν
δώδεκα). Καὶ ἐξέστησαν† ἐκστάσει μεγάλῃ.
43 Καὶ διεστείλατο αὐτοῖς πολλὰ ἵνα μηδεὶς
γνῷ‡ τοῦτο, καὶ εἶπεν δοθῆναι αὐτῇ φαγεῖν.

# 6

## *A visit to Natsareth*

1 Καὶ ἐξῆλθεν ἐκεῖθεν καὶ ἦλθεν* εἰς τὴν
πατρίδα αὐτοῦ,† καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ
μαθηταὶ αὐτοῦ. 2 Καὶ γενομένου σαββάτου,
ἤρξατο ἐν τῇ συναγωγῇ διδάσκειν.‡ Καὶ
πολλοὶ ἀκούοντες ἐξεπλήσσοντο, λέγοντες·
«Πόθεν τούτῳ ταῦτα;» καί, «Τίς ἡ σοφία ἡ
δοθεῖσα αὐτῷ;»§ καί,* «Δυνάμεις τοιαῦται διὰ
τῶν χειρῶν αὐτοῦ γίνονται.† 3 Οὐχ οὗτός
ἐστιν ὁ τέκτων, ὁ υἱὸς‡ Μαρίας, ἀδελφὸς δὲ§

---

† **5:42** εξεστησαν **f**$^{35}$ 𝔓$^{45}$A,N,W (96.3%) HF,RP,CP,TR,OC ¦ 1 οι γονεις (1.2%) ¦ 1 οι γονεις αυτης (1.3%) ¦ 1 ευθυς אB,C (0.5%) [NU] ¦ 1 παντες D (0.1%) ¦ long omissions (0.5%) ‡ **5:43** γνω **f**$^{35}$ אC,N [99%] HF,RP,CP,TR,OC ¦ γνοι 𝔓$^{45}$A,B,D,W [1%] NU * **6:1** ηλθεν **f**$^{35}$ A(D)N [98%] HF,RP,CP,TR,OC ¦ ερχεται אB,C [1%] NU ¦ — W [1%] † **6:1** αυτου *rell* ¦ εαυτου OC ‡ **6:2** εν τη συναγωγη διδασκειν **f**$^{35}$ 𝔓$^{45v}$A,N,W [99%] HF,RP,CP,TR,OC ¦ 4123 אB,C,D [1%] NU § **6:2** αυτω **f**$^{35}$ A,N,W [84%] HF,RP,CP,OC ¦ 1 οτι [5%] TR ¦ τουτω אB [1%] NU ¦ τουτω ινα C ¦ 1 ινα D [10%] * **6:2** και **f**$^{35}$ A,C,D,W [98%] HF,RP,CP,TR,OC ¦ 1 αι אB,N [1%] NU ¦ — [1%] † **6:2** γινονται **f**$^{35}$ (A)(C)N(W) [96%] HF,RP,CP,TR,OC ¦ γινομεναι א(B) [1%] NU ¦ γινωνται (D) [3%] ‡ **6:3** υιος **f**$^{35}$ A,D,N [98%] HF,RP,CP,TR ¦ 1 της אB,C,W [2%] OC,NU § **6:3** αδελφος δε **f**$^{35}$ A,N,W [98%] HF,RP,CP,TR,OC ¦ και 1 B,C [1%] NU ¦ και ο 1 אD [0.5%] ¦ two other variants

Ἰακώβου καὶ Ἰωσῆ* καὶ Ἰούδα καὶ Σίμωνος;
Καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς
ἡμᾶς;» Καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. 4 Ἔλεγεν
δὲ† αὐτοῖς ὁ Ἰησοῦς ὅτι «Οὐκ ἔστιν προφήτης
ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν
τοῖς συγγενέσιν‡ καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.»
5 Καὶ οὐκ ἠδύνατο§ ἐκεῖ οὐδεμίαν δύναμιν
ποιῆσαι,* εἰ μὴ ὀλίγοις ἀρρώστοις ἐπιθεὶς τὰς
χεῖρας ἐθεράπευσεν. 6 Καὶ ἐθαύμαζεν διὰ τὴν
ἀπιστίαν αὐτῶν. Καὶ περιῆγεν τὰς κώμας
κύκλῳ, διδάσκων.

### *The Twelve commissioned and sent*

7 Καὶ προσκαλεῖται τοὺς δώδεκα καὶ
ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο, καὶ
ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων
τῶν ἀκαθάρτων. 8 Καὶ παρήγγειλεν† αὐτοῖς
ἵνα μηδὲν αἴρωσιν εἰς ὁδόν, εἰ μὴ ῥάβδον
μόνον—μὴ πήραν, μὴ ἄρτον,‡ μὴ εἰς τὴν ζώνην
χαλκόν— 9 ἀλλ᾽ ὑποδεδεμένους σανδάλια,

---

* **6:3** ιωση **f**[35] A,C,N,W (97.7%) HF,RP,CP,TR,OC ¦ ιωσηφ א (0.9%) ¦ ιωσητος B,D (1.2%) NU ¦ three other variants (0.2%) † **6:4** ελεγεν δε **f**[35] A,N,W [98%] HF,RP,CP,TR,OC ¦ και 1 אB,C,D [2%] NU ‡ **6:4** και εν τοις συγγενεσιν **f**[35] A,D,W [93%] HF,RP,CP,TR,OC ¦ 123 συγγενευσιν [4%] ¦ 1234 αυτου C [1%] ¦ 123 συγγενευσιν αυτου B(N) [2%] NU ¦ —א § **6:5** ηδυνατο **f**[35] אD,N [94%] HF,RP,CP,TR,OC ¦ εδυνατο A,B,C,W [6%] NU * **6:5** ουδεμιαν δυναμιν ποιησαι **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ 312 אB,C [2%] NU ¦ 132 D [1%] ¦ 32 W † **6:8** παρηγγειλεν *rell* ¦ παρηγγελεν [2%] CP ¦ παρηγγελλεν W [10%] ‡ **6:8** πηραν μη αρτον **f**[35] A(D)N,W [99%] HF,RP,CP,TR,OC ¦ 321 אB,C [1%] NU

καὶ μὴ ἐνδύσησθε§ δύο χιτῶνας. 10 Καὶ ἔλεγεν
αὐτοῖς· «Ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ
μένετε ἕως ἂν ἐξέλθητε ἐκεῖθεν. 11 Καὶ ὅσοι*
ἐὰν† μὴ‡ δέξωνται§ ὑμᾶς μηδὲ ἀκούσωσιν
ὑμῶν, ἐκπορευόμενοι ἐκεῖθεν, ἐκτινάξατε
τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν
εἰς μαρτύριον αὐτοῖς. Ἀμὴν λέγω ὑμῖν,
ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόρροις
ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ.»* 12 Καὶ
ἐξελθόντες ἐκήρυσσον† ἵνα μετανοήσωσιν,‡
13 καὶ δαιμόνια πολλὰ ἐξέβαλλον,§ καὶ
ἤλειφον ἐλαίῳ πολλοὺς ἀρρώστους καὶ
ἐθεράπευον.

### *Herod had executed John the Baptizer*

14 Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρῴδης, φανερὸν
γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ, καὶ ἔλεγεν* ὅτι

---

§ **6:9** ενδυσησθε **f**$^{35}$ אC [91%] HF,RP,CP,TR,NU ¦ ενδυσασθε B [0.5%] ¦ ενδυσησθαι A,D,W [1%] ¦ ενδυσασθαι [5%] some TRs ¦ ενδεδυσθαι N [2%] OC * **6:11** οσοι **f**$^{35}$ A,D,N [96%] HF,RP,CP,TR,OC ¦ ος אB,C,W [4%] NU † **6:11** εαν **f**$^{35}$ A,D,N [50%] CP,OC ¦ αν אB,C,W [50%] HF,RP,TR,NU ‡ **6:11** μη **f**$^{35}$ A,C,D,N [98%] HF,RP,CP,TR,OC ¦ τοπος 1 אB,W [2%] NU § **6:11** δεξωνται **f**$^{35}$ A,D,N [93%] HF,RP,CP,TR,OC ¦ δεξονται [4%] ¦ δεξηται אB,C,W [3%] NU * **6:11** αμην λεγω υμιν ανεκτοτερον εσται σοδομοις η γομορροις εν ημερα κρισεως η τη πολει εκεινη **f**$^{35}$ A,N [98%] HF,RP,CP,TR,OC ¦ — אB,C,D,W [2%] NU † **6:12** εκηρυσσον **f**$^{35}$ A,N,W [99%] HF,RP,CP,TR,OC ¦ εκηρυξαν (א)B,C,D [1%] NU ‡ **6:12** μετανοησωσιν **f**$^{35}$ אA,C [99%] HF,RP,CP,TR,OC ¦ μετανοωσιν B,D,W [0.5%] NU ¦ μετανοησουσιν N § **6:13** εξεβαλλον *rell* ¦ εξεβαλον C,D [10%] CP ¦ εξεπεμπον W * **6:14** ελεγεν **f**$^{35}$ אA,C,N (99%) HF,RP,CP,TR,OC ¦ ελεγον B,W (0.7%) NU ¦ ελεγοσαν D (0.1%) ¦ ειπεν (0.1%)

«Ἰωάννης ὁ βαπτίζων† ἐκ νεκρῶν ἠγέρθη,‡ καὶ
διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ.»
15 Ἄλλοι§ ἔλεγον ὅτι «Ἠλίας ἐστίν.» Ἄλλοι
δὲ ἔλεγον ὅτι «Προφήτης ἐστὶν ὡς* εἷς τῶν
προφητῶν.» 16 Ἀκούσας δὲ ὁ † Ἡρῴδης εἶπεν‡
ὅτι§ «Ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός
ἐστιν· αὐτὸς* ἠγέρθη ἐκ νεκρῶν.»†
17 Αὐτὸς γὰρ ὁ Ἡρῴδης ἀποστείλας
ἐκράτησεν τὸν Ἰωάννην, καὶ ἔδησεν αὐτὸν
ἐν φυλακῇ,‡ διὰ Ἡρῳδιάδα, τὴν γυναῖκα
Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ· ὅτι αὐτὴν
ἐγάμησεν 18 —ἔλεγεν γὰρ ὁ Ἰωάννης τῷ Ἡρῴδῃ
ὅτι «Οὐκ ἔξεστίν σοι ἔχειν τὴν γυναῖκα τοῦ
ἀδελφοῦ σου.» 19 Ἡ δὲ Ἡρῳδιὰς ἐνεῖχεν
αὐτῷ καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι· καὶ

---

† **6:14** βαπτιζων **f**[35] אA,B,C,N (91.9%) HF,RP,CP,TR,OC,NU ¦ βαπτιστης D,W (8.1%) ‡ **6:14** εκ νεκρων ηγερθη **f**[35] N,W (91.5%) HF,RP,CP,TR,OC ¦ 312 C (0.6%) ¦ 3 απο των 2 (1.3%) ¦ 12 ανεστη A (5.7%) ¦ εγηγερται 12 אB,D (0.7%) NU ¦ three other variants (0.2%) § **6:15** αλλοι **f**[35] [70%] HF,RP,CP,TR,OC ¦ 1 δε אA,B,C,D,N,W [29%] NU ¦ — [1%] * **6:15** εστιν ως **f**[35] A,N [94%] HF,RP,CP,OC ¦ 2 אB,C,W [2%] NU ¦ 1 η 2 [2%] TR ¦ η 2 [2%] ¦ — D † **6:16** ο **f**[35] אA,B,N,W [50%] TR,OC,NU ¦ — C,D [50%] HF,RP,CP ‡ **6:16** ειπεν **f**[35] A,D,N,W [98%] HF,RP,CP,TR,OC ¦ ελεγεν 𝔭[45v]אB,C [2%] NU § **6:16** οτι **f**[35] 𝔭[45]A,C,N,W [96%] HF,RP,CP,TR,OC ¦ — אB,D [4%] NU * **6:16** εστιν αυτος **f**[35] A,C,N (98%) HF,RP,CP,TR,OC ¦ — (א)B(D)W (1%) NU ¦ 1 (0.4%) ¦ three other variants (0.2%) ¦ long omission (0.3%) † **6:16** εκ νεκρων **f**[35] A(D) [96%] HF,RP,CP,TR,OC ¦ απο των 2 C,N [3%] ¦ — אB,W [1%] NU ‡ **6:17** εν φυλακη **f**[35] א(A)B,C,N (93.3%) HF,RP,CP,OC,NU ¦ εις φυλακην (0.5%) ¦ 1 τη 2 W (5.1%) TR ¦ και εβαλεν εις φυλακην D (0.9%) ¦ two other variants (0.1%)

οὐκ ἠδύνατο, 20 ὁ γὰρ Ἡρῴδης ἐφοβεῖτο
τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον
καὶ ἅγιον, καὶ συνετήρει αὐτόν. Καὶ ἀκούων§
αὐτοῦ πολλὰ ἐποίει,* καὶ ἡδέως αὐτοῦ ἤκουεν.
21 Καὶ γενομένης ἡμέρας εὐκαίρου ὅτε
Ἡρῴδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον
ἐποίει† τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς
χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας.
22 Καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς‡
Ἡρῳδιάδος καὶ ὀρχησαμένης, καὶ ἀρεσάσης§
τῷ Ἡρῴδῃ καὶ τοῖς συνανακειμένοις, εἶπεν
ὁ βασιλεὺς τῷ κορασίῳ, «Αἴτησόν με ὃ ἐὰν
θέλῃς, καὶ δώσω σοί.» 23 Καὶ ὤμοσεν αὐτῇ* ὅτι
«Ὃ† ἐάν με‡ αἰτήσῃς δώσω σοί, ἕως ἡμίσους
τῆς βασιλείας μου.»
24 Ἡ δὲ§ ἐξελθοῦσα εἶπεν τῇ μητρὶ
αὐτῆς, «Τί αἰτήσομαι;»* Ἡ δὲ εἶπεν, «Τὴν

---

§ **6:20** ακουων **f**35 [20%] ¦ ακουσας ℵA,B,C,D,N,W [80%] HF,RP,CP,TR,OC,NU * **6:20** εποιει **f**35 A,C,D,N (98.4%) HF,RP,CP,TR,OC ¦ α 1 (1%) ¦ ηπορει ℵB (0.4%) NU ¦ ηπορειτο W ¦ — (0.2%) † **6:21** εποιει **f**35 A,N [97%] HF,RP,CP,TR,OC ¦ εποιησεν ℵB,C,D,W [3%] NU ‡ **6:22** αυτης της **f**35 A,C,N (96.5%) HF,RP,CP,TR,OC ¦ 2 (1.3%) ¦ αυτου 2 (0.9%) ¦ αυτου ℵB,D (0.4%) NU ¦ 1 W (0.7%) ¦ two other variants (0.2%) § **6:22** και αρεσασης **f**35 𝔭45A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ ηρεσεν ℵB,C [1%] NU * **6:23** αυτη **f**35 ℵA,B,N [99%] HF,RP,CP,TR,OC ¦ 1 πολλα D [1%] [NU] ¦ πολλα 𝔭45 ¦ long omission W [1%] † **6:23** ο **f**35 ℵA,C,N [98%] HF,RP,CP,TR,OC ¦ — 𝔭45B(D) [1%] NU ¦ long omission W [1%] ‡ **6:23** με *rell* ¦ — ℵN [2%] CP ¦ long omission W [1%] § **6:24** η δε **f**35 A,C,D,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ και ℵB [0.5%] NU * **6:24** αιτησομαι **f**35 [96%] HF,RP,CP,TR,OC ¦ αιτησωμαι ℵA,B,C,D,N,W [4%] NU

κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ.»† 25 Καὶ
εἰσελθοῦσα εὐθέως‡ μετὰ σπουδῆς πρὸς
τὸν βασιλέα ᾐτήσατο, λέγουσα, «Θέλω
ἵνα μοι δῷς ἐξαυτῆς§ ἐπὶ πίνακι τὴν
κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ.» 26 Καὶ
περίλυπος γενόμενος ὁ βασιλεύς, διὰ τοὺς
ὅρκους, καὶ τοὺς συνανακειμένους,* οὐκ
ἠθέλησεν αὐτὴν ἀθετῆσαι.† 27 Καὶ εὐθέως‡
ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτωρα§
ἐπέταξεν ἐνεχθῆναι* τὴν κεφαλὴν αὐτοῦ.
Ὁ δὲ† ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ
φυλακῇ 28 καὶ ἤνεγκεν τὴν κεφαλὴν αὐτοῦ ἐπὶ
πίνακι, καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ· καὶ
τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς.
29 Καὶ ἀκούσαντες, οἱ μαθηταὶ αὐτοῦ ἦλθον
καὶ ἦραν τὸ πτῶμα αὐτοῦ καὶ ἔθηκαν αὐτὸ ἐν‡
μνημείῳ.

---

† **6:24** βαπτιστου $\mathbf{f}^{35}$ A,C,D,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ βαπτιζοντος אB [0.5%] NU ‡ **6:25** ευθεως $\mathbf{f}^{35}$ A [97%] HF,RP,CP,TR,OC ¦ ευθυς $\mathfrak{P}^{45}$אB,C,N,W [2%] NU ¦ — D [1%] § **6:25** μοι δως εξαυτης $\mathbf{f}^{35}$ A [98%] HF,RP,CP,TR,OC ¦ 321 אB,C [1%] NU ¦ 213 N ¦ δος 1 D ¦ 1 δωσης W ¦ μη δος 3 [1%] * **6:26** συνανακειμενους $\mathbf{f}^{35}$ אA,D,N [99.5%] HF,RP,CP,TR,OC ¦ ανακειμενους B,C,W [0.5%] NU † **6:26** αυτην αθετησαι $\mathbf{f}^{35}$ A,D,W [99%] HF,RP,CP,TR,OC ¦ 21 אB,C,N [1%] NU ‡ **6:27** ευθεως $\mathbf{f}^{35}$ A(D)N,W [99.5%] HF,RP,CP,TR,OC ¦ ευθυς אB,C [0.5%] NU § **6:27** σπεκουλατωρα $\mathbf{f}^{35}$ [50%] CP,TR,OC ¦ σπεκουλατορα אA,B,C(D)N,W [50%] HF,RP,NU * **6:27** ενεχθηναι $\mathbf{f}^{35}$ A,D,N,W (98.7%) HF,RP,CP,TR,OC ¦ ανεχθηναι (0.5%) ¦ εχθηναι (0.1%) ¦ ενεγκαι אB,C (0.4%) NU ¦ long omission (0.2%) † **6:27** ο δε $\mathbf{f}^{35}$ A,D,N (97.6%) HF,RP,CP,TR,OC ¦ και B,C,W (1.1%) NU ¦ — א (1.3%) omit a whole line [homoioteleuton] ‡ **6:29** εν *rell* ¦ 1 τω D [10%] TR

### *The Twelve return*

30 Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν
Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ§ ὅσα
ἐποίησαν καὶ ὅσα ἐδίδαξαν. 31 Καὶ εἶπεν*
αὐτοῖς, «Δεῦτε ὑμεῖς αὐτοὶ κατ᾽ ἰδίαν εἰς
ἔρημον τόπον καὶ ἀναπαύεσθε† ὀλίγον»· ἦσαν
γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί, καὶ
οὐδὲ φαγεῖν εὐκαίρουν.‡

### *Bread for **5,000** men*

32 Καὶ ἀπῆλθον§ εἰς ἔρημον τόπον τῷ πλοίῳ*
κατ᾽ ἰδίαν. 33 Καὶ εἶδον αὐτοὺς ὑπάγοντας†
καὶ ἐπέγνωσαν αὐτοὺς‡ πολλοί, καὶ πεζῇ
ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ καὶ
προῆλθον αὐτοὺς καὶ συνῆλθον πρὸς αὐτόν.§
34 Καὶ ἐξελθὼν εἶδεν ὁ Ἰησοῦς* πολὺν ὄχλον,
καὶ ἐσπλαγχνίσθη ἐπ᾽ αὐτοῖς,† ὅτι ἦσαν

---

§ **6:30** και **f**35 A,W [85%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,D,N [15%] NU * **6:31** ειπεν **f**35 A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ λεγει ℵB,C [1%] NU † **6:31** αναπαυεσθε **f**35 ℵD,N,W [95%] HF,RP,CP,TR,OC ¦ αναπαυσασθε A,B,C [5%] NU ‡ **6:31** ευκαιρουν **f**35 ℵA,B,N [60%] HF,RP,CP,OC,NU ¦ ηυκαιρουν C,W [40%] TR ¦ ευκαιρος ειχον D § **6:32** απηλθον *rell* ¦ απηλθεν [15%] * **6:32** εις ερημον τοπον τω πλοιω **f**35 A,W [97%] HF,RP,CP,TR ¦ εν 4 (−τ. ℵ) 5123 (ℵ)B [1%] NU ¦ 1 το πλοιον 123 D ¦ 123 εν 45 N [1%] ¦ 123 εν 5 [1%] OC (C vacant) † **6:33** υπαγοντας *rell* ¦ 1 οι οχλοι W [5%] TR ‡ **6:33** αυτους **f**35 ℵA,N [50%] OC ¦ αυτον [48%] HF,RP,CP,TR ¦ — B,D,W [2%] NU § **6:33** και συνηλθον (ηλθον CP, συνεδραμον A) προς αυτον **f**35 (A)N [96%] HF,RP(CP)TR,OC ¦ — ℵB(D)W [4%] NU * **6:34** ειδεν ο ιησους **f**35 (D) [80%] HF,RP,CP,TR ¦ 231 A,N [17%] OC ¦ 1 (ℵ)B,W [3%] NU † **6:34** αυτοις **f**35 A,N [99%] HF,RP,CP,TR,OC ¦ αυτους ℵB,D,W [1%] NU

ὡς πρόβατα μὴ ἔχοντα ποιμένα, καὶ ἤρξατο
διδάσκειν αὐτοὺς πολλά.
35 Καὶ ἤδη ὥρας πολλῆς γενομένης,
προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ
λέγουσιν‡ ὅτι «Ἔρημός ἐστιν ὁ τόπος, καὶ
ἤδη ὥρα πολλή. 36 Ἀπόλυσον αὐτούς, ἵνα
ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας
ἀγοράσωσιν ἑαυτοῖς ἄρτους· τί γὰρ φάγωσιν
οὐκ ἔχουσιν.»§ 37 Ὁ δὲ ἀποκριθεὶς εἶπεν
αὐτοῖς, «Δότε αὐτοῖς ὑμεῖς φαγεῖν.» Καὶ
λέγουσιν αὐτῷ, «Ἀπελθόντες ἀγοράσωμεν
δηναρίων διακοσίων* ἄρτους καὶ δῶμεν†
αὐτοῖς φαγεῖν;» 38 Ὁ δὲ λέγει αὐτοῖς· «Πόσους
ἄρτους ἔχετε; Ὑπάγετε καὶ‡ ἴδετε.» Καὶ
γνόντες λέγουσιν, «Πέντε, καὶ δύο ἰχθύας.»
39 Καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι§ πάντας
συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ.
40 Καὶ ἀνέπεσον* πρασιαὶ πρασιαὶ ἀνὰ†
ἑκατὸν καὶ ἀνὰ πεντήκοντα. 41 Καὶ λαβὼν
τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας,

---

‡ **6:35** λεγουσιν **f**[35] A,D,W [95%] HF,RP,CP,TR,OC ¦ ελεγον ℵB [1%] NU ¦ 1 αυτω [4%] ¦ λεγοντες N § **6:36** αρτους τι γαρ φαγωσιν ουκ εχουσιν **f**[35] A,N [98%] HF,RP,CP,TR,OC ¦ 23456 [1%] ¦ 24 𝔓[45]B,W [1%] NU ¦ βρωματα 24 ℵ ¦ 2 φαγειν D * **6:37** δηναριων διακοσιων *rell* ¦ 21 D,N [15%] TR † **6:37** δωμεν **f**[35] W [97%] HF,RP,CP,TR,OC ¦ δωσομεν 𝔓[45]A,B [1%] NU ¦ δωσωμεν ℵN,D [2%] ‡ **6:38** και **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ — ℵB,D,W [3%] NU § **6:39** ανακλιναι **f**[35] A,D,N,W (89.2%) HF,RP,CP,TR,OC,NU ¦ ανακλιθηναι ℵB (10.8%) * **6:40** ανεπεσον **f**[35] A,D [85%] HF,RP,CP,TR,OC ¦ ανεπεσαν ℵ(B)N,W [15%] NU † **6:40** ανα **f**[35] A,N(W) [99.5%] HF,RP,CP,TR,OC ¦ κατα ℵB,D [0.5%] NU (twice) (𝔓[45] omits last five words of verse)

ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν καὶ
κατέκλασεν τοὺς ἄρτους καὶ ἐδίδου τοῖς
μαθηταῖς αὐτοῦ,‡ ἵνα παραθῶσιν§ αὐτοῖς· καὶ
τοὺς δύο ἰχθύας ἐμέρισεν πᾶσιν. 42 Καὶ
ἔφαγον πάντες καὶ ἐχορτάσθησαν. 43 Καὶ ἦραν
κλασμάτων* δώδεκα κοφίνους πλήρεις,† καὶ
ἀπὸ τῶν ἰχθύων. 44 Καὶ ἦσαν οἱ φαγόντες τοὺς
ἄρτους‡ πεντακισχίλιοι ἄνδρες.

### *Jesus retires to pray*

45 Καὶ εὐθέως§ ἠνάγκασεν τοὺς μαθητὰς
αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν
εἰς τὸ πέραν, πρὸς Βηθσαϊδάν, ἕως αὐτὸς
ἀπολύσει* τὸν ὄχλον. 46 Καὶ ἀποταξάμενος
αὐτοῖς ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι.

### *A walk on water*

47 Καὶ ὀψίας γενομένης, ἦν τὸ πλοῖον ἐν
μέσῳ τῆς θαλάσσης· καὶ αὐτὸς μόνος ἐπὶ τῆς
γῆς. 48 Καὶ εἶδεν† αὐτοὺς βασανιζομένους

---

‡ **6:41** αυτου **f35** 𝔭45A,D,N,W [99%] HF,RP,CP,TR[NU] ¦ — אB [1%] OC § **6:41** παραθωσιν **f35** 𝔭45A,D,N [97%] HF,RP,CP,TR,OC ¦ παρατιθωσιν אB,W [3%] NU * **6:43** κλασματων **f35** אA,D,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ κλασματα 𝔭45B [0.5%] NU ¦ — [1%] † **6:43** κοφινους πληρεις **f35** A,D,N [97%] HF,RP,CP,TR,OC ¦ κοφινων πληρωματα 𝔭45אB [2%] NU ¦ 1 πληρωματα W [1%] ‡ **6:44** τους αρτους **f35** A,B,N [92%] HF,RP,CP,OC[NU] ¦ 12 ωσει [5%] TR ¦ ως א [0.5%] ¦ ωσει [1%] ¦ — 𝔭45D,W (1.8%) § **6:45** ευθεως **f35** A,D,N [99%] HF,RP,CP,TR,OC ¦ ευθυς אB,W [1%] NU * **6:45** απολυσει **f35** [40%] CP ¦ απολυει אB,D [1%] NU ¦ απολυση 𝔭45A,N,W [59%] HF,RP,TR,OC † **6:48** ειδεν **f35** 𝔭45vA,N [99%] HF,RP,CP,TR ¦ ιδων אB,D,W [1%] OC,NU

ἐν τῷ ἐλαύνειν, ἦν γὰρ ὁ ἄνεμος ἐναντίος
αὐτοῖς. Καὶ‡ περὶ τετάρτην φυλακὴν τῆς
νυκτὸς ἔρχεται πρὸς αὐτοὺς περιπατῶν ἐπὶ
τῆς θαλάσσης, καὶ ἤθελεν παρελθεῖν αὐτούς·
49 οἱ δέ, ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ
τῆς θαλάσσης,§ ἔδοξαν φάντασμα εἶναι,* καὶ
ἀνέκραξαν· 50 πάντες γὰρ αὐτὸν εἶδον† καὶ
ἐταράχθησαν. Καὶ εὐθέως‡ ἐλάλησεν μετ᾽
αὐτῶν, καὶ λέγει αὐτοῖς· «Θαρσεῖτε, ἐγώ εἰμι·
μὴ φοβεῖσθε.» 51 Καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς
τὸ πλοῖον,§ καὶ ἐκόπασεν ὁ ἄνεμος. Καὶ
λίαν ἐκ περισσοῦ* ἐν ἑαυτοῖς ἐξίσταντο, καὶ
ἐθαύμαζον.† 52 Οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς
ἄρτοις—ἦν γὰρ‡ αὐτῶν ἡ καρδία§ πεπωρωμένη.

### *In Genesaret*

53 Καὶ διαπεράσαντες, ἦλθον* ἐπὶ τὴν γῆν†

---

‡ **6:48** και **f**35 A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ — אB [1%] NU § **6:49** περιπατουντα επι της θαλασσης **f**35 A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ 2341 אB [1%] NU * **6:49** φαντασμα ειναι **f**35 A,D,N(W) [99%] HF,RP,CP,TR,OC ¦ οτι 1 εστιν אB [1%] NU † **6:50** ειδον *rell* ¦ ειδαν אB,NU ¦ — D ‡ **6:50** και ευθεως **f**35 A,N,W [99%] HF,RP,CP,TR,OC ¦ ο δε ευθυς אB [0.5%] NU ¦ 1 D ¦ ο δε [0.5%] § **6:51** προς αυτους εις το πλοιον *rell* ¦ 34512 D [1%] OC * **6:51** λιαν εκ περισσου **f**35 A,N (96.9%) HF,RP,CP,TR,OC[NU] ¦ 12 περι σου (1.7%) ¦ 23 W (0.5%) ¦ 1 אB (0.7%) ¦ περισσως D (0.2%) † **6:51** και εθαυμαζον **f**35 A,D,N,W (98.7%) HF,RP,CP,TR,OC ¦ — אB (1.2%) NU ¦ two other variants (0.1%) ‡ **6:52** ην γαρ **f**35 A,D,N,W [99%] HF,RP,CP,TR ¦ αλλ 1 אB [1%] OC,NU § **6:52** αυτων η καρδια **f**35 אA,B,N,W [85%] HF,RP,CP,OC,NU ¦ 231 D [15%] TR * **6:53** ηλθον *rell* ¦ απηλθον [1%] OC † **6:53** ηλθον επι την γην **f**35 A,D,N [98%] HF,RP,CP,TR,OC ¦ 1234 εις (W) [0.5%] ¦ 2341 εις אB [0.5%] NU ¦ 1 εις 34 [1%]

Γενησαρὲτ‡ καὶ προσωρμίσθησαν. 54 Καὶ
ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου, εὐθέως§
ἐπιγνόντες αὐτόν, 55 περιδραμόντες* ὅλην
τὴν περίχωρον† ἐκείνην‡ ἤρξαντο ἐπὶ τοῖς
κραββάτοις§ τοὺς κακῶς ἔχοντας περιφέρειν
ὅπου ἤκουον ὅτι ἐκεῖ* ἐστιν. 56 Καὶ ὅπου ἂν
εἰσεπορεύετο—εἰς κώμας ἢ † πόλεις ἢ ‡ ἀγρούς—
ἐν ταῖς ἀγοραῖς ἐτίθουν§ τοὺς ἀσθενοῦντας, καὶ
παρεκάλουν αὐτὸν ἵνα κἂν τοῦ κρασπέδου τοῦ
ἱματίου αὐτοῦ ἅψωνται· καὶ ὅσοι ἂν ἥπτοντο*
αὐτοῦ ἐσῴζοντο.

# 7

## *Jesus rebuts scribes and Pharisees*

1 Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι
καί τινες τῶν γραμματέων, ἐλθόντες ἀπὸ

---

‡ **6:53** γενησαρετ $\mathbf{f}^{35}$ [30%] TR ¦ γεννησαρετ אA,W [53%] HF,RP,CP,OC,NU ¦ γεννησαρεθ B [15%] ¦ γενησαρεθ N [2%] ¦ γεννησαρ D § **6:54** ευθεως $\mathbf{f}^{35}$ A,D,N [98%] HF,RP,CP,TR,OC ¦ ευθυς אB,W [2%] NU * **6:55** περιδραμοντες $\mathbf{f}^{35}$ A,D,N [97%] HF,RP,CP,TR ¦ περιεδραμον אB,W [3%] OC,NU † **6:55** περιχωρον $\mathbf{f}^{35}$ A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ χωραν אB [1%] NU ‡ **6:55** εκεινην $\mathbf{f}^{35}$ A,D,N [97%] HF,RP,CP,TR ¦ 1 και אB,W [3%] OC,NU § **6:55** κραββατοις $\mathbf{f}^{35}$ [70%] HF,RP,CP,TR ¦ κραβαττοις A,B,N(W) [29%] OC,NU ¦ κραβακτοις א ¦ γραβαττοις (D) ¦ κρεβαντοις [1%] ¦ two other variants * **6:55** εκει $\mathbf{f}^{35}$ A,C,N(W) (98.1%) HF,RP,CP,TR,OC ¦ — אB (1.5%) NU ¦ wild D (0.2%) ¦ long omission (0.2%) † **6:56** η $\mathbf{f}^{35}$ A,W [99%] HF,RP,CP,TR,OC ¦ 1 εις אB,D,N [1%] NU ‡ **6:56** η $\mathbf{f}^{35}$ A,N,W [99%] HF,RP,CP,TR,OC ¦ 1 εις אB,D [1%] NU § **6:56** ετιθουν $\mathbf{f}^{35}$ A(D)N,W [99%] HF,RP,CP,TR ¦ ετιθεσαν אB [1%] OC,NU * **6:56** ηπτοντο $\mathbf{f}^{35}$ A,N [96%] HF,RP,CP,TR,OC ¦ ηψαντο אB,D,W [4%] NU

Ἱεροσολύμων. 2 Καὶ ἰδόντες τινὰς τῶν
μαθητῶν αὐτοῦ* κοιναῖς χερσίν—τοῦτ᾽ ἔστιν,
ἀνίπτοις—ἐσθίοντας† ἄρτους,‡ ἐμέμψαντο.§
3 (Οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι,
ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ
ἐσθίουσιν, κρατοῦντες τὴν παράδοσιν τῶν
πρεσβυτέρων. 4 Καὶ ἀπὸ* ἀγορᾶς, ἐὰν
μὴ βαπτίσωνται,† οὐκ ἐσθίουσιν. Καὶ
ἄλλα πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν—
βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκείων‡
καὶ κλινῶν.)§
5 Ἔπειτα* ἐπερωτῶσιν αὐτὸν οἱ Φαρισαῖοι
καὶ οἱ γραμματεῖς, «Διὰ τί οἱ μαθηταί σου
οὐ περιπατοῦσιν† κατὰ τὴν παράδοσιν
τῶν πρεσβυτέρων, ἀλλὰ‡ ἀνίπτοις§ χερσὶν

---

* **7:2** αυτου **f**35 A,D,N [99%] HF,RP,CP,TR,OC ¦ 1 οτι אB [1%] NU ¦ 1 τινας W † **7:2** εσθιοντας **f**35 A,D,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ εσθιουσιν אB [0.5%] NU ‡ **7:2** αρτους **f**35 A [94%] HF,RP,CP,TR,OC ¦ τους 1 B,D,N,W [4%] NU ¦ αρτον א [2%] § **7:2** εμεμψαντο **f**35 N,W [85%] HF,RP,CP,TR,OC ¦ — אA,B [15%] NU ¦ κατεγνωσαν D * **7:4** απο **f**35 אN [98%] HF,RP,CP,TR,OC ¦ απ A,B,D,W [2%] NU † **7:4** βαπτισωνται **f**35 A,D (78.7%) HF,RP,CP,TR,OC,NU ¦ βαπτισονται (15.9%) ¦ ραντισωνται אB (3.6%) ¦ νιψονται (0.2%) ¦ long omissions (1.5%) ‡ **7:4** χαλκειων **f**35 A [30%] ¦ χαλκιων אB,D,W [70%] HF,RP,CP,TR,OC,NU (N vacant) § **7:4** και κλινων **f**35 A,D,W (99.3%) HF,RP,CP,TR,OC[NU] ¦ — אB (0.5%) ¦ long omission (0.2%) * **7:5** επειτα **f**35 A,W [98%] HF,RP,CP,TR,OC ¦ και אB,D [2%] NU † **7:5** οι μαθηται σου ου περιπατουσιν **f**35 𝔓45A,D,W [99%] HF,RP,CP,TR ¦ 45123 אB [1%] OC,NU ‡ **7:5** αλλα *rell* ¦ αλλ OC § **7:5** ανιπτοις **f**35 A [96%] HF,RP,CP,TR,OC ¦ κοιναις 𝔓45א(B)(D,W) [4%] NU

ἐσθίουσιν τὸν ἄρτον;» 6 Ὁ δὲ ἀποκριθεὶς*
εἶπεν αὐτοῖς ὅτι† «Καλῶς προεφήτευσεν‡
Ἡσαΐας§ περὶ ὑμῶν τῶν ὑποκριτῶν, ὡς
γέγραπται·* ‹Οὗτος ὁ λαὸς τοῖς χείλεσίν με
τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾽
ἐμοῦ. 7 Μάτην δὲ σέβονταί με, διδάσκοντες
διδασκαλίας ἐντάλματα ἀνθρώπων.›
8 Ἀφέντες γὰρ† τὴν ἐντολὴν τοῦ Θεοῦ, κρατεῖτε
τὴν παράδοσιν τῶν ἀνθρώπων—βαπτισμοὺς
ξεστῶν καὶ ποτηρίων, καὶ ἄλλα παρόμοια
τοιαῦτα πολλὰ ποιεῖτε.»‡ 9 Καὶ ἔλεγεν αὐτοῖς·
«Καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ Θεοῦ, ἵνα
τὴν παράδοσιν ὑμῶν τηρήσητε.§ 10 Μωσῆς*
γὰρ εἶπεν, ‹Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα
σου› καί, ‹Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ
τελευτάτω.› 11 Ὑμεῖς δὲ λέγετε ἐὰν εἴπῃ
ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρί, ‹Κορβᾶν› (ὅ
ἐστιν, δῶρον) ‹ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς,› 12 καὶ†

---

* **7:6** αποκριθεις **f**35 𝔭45A,D,W [99%] HF,RP,CP,TR,OC ¦ — ℵB [1%] NU † **7:6** οτι **f**35 𝔭45A,D,W [99%] HF,RP,CP,TR,OC ¦ — ℵB [1%] NU ‡ **7:6** προεφητευσεν **f**35 A,W [97%] HF,RP,CP,TR,OC ¦ επροφητευσεν ℵB,D [3%] NU § **7:6** ἡσαιας **f**35 TR,OC ¦ ἠσαιας HF,RP,NU ¦ ισαιας CP * **7:6** γεγραπται **f**35 A,W [98.5%] HF,RP,CP,TR,OC ¦ 1 οτι ℵB [0.5%] [NU] ¦ ειπεν D [1%] † **7:8** γαρ **f**35 A [99%] HF,RP,CP,TR,OC ¦ — 𝔭45ℵB,D,W [1%] NU ‡ **7:8** βαπτισμους ξεστων και ποτηριων και αλλα παρομοια τοιαυτα πολλα ποιειτε **f**35 (A,D) (98.3%) HF,RP,CP, TR,OC ¦ — 𝔭45ℵB,W (1.7%) NU § **7:9** τηρησητε **f**35 ℵA (98%) HF,RP,CP,TR,OC ¦ τηρητε B (0.5%) ¦ στησητε D,W (0.7%) NU ¦ ποιησητε (0.1%) ¦ κρατησητε (0.2%) ¦ long omission (0.4%) * **7:10** μωσης **f**35 A [90%] HF,RP,CP,TR ¦ μωυσης ℵB,D,W [10%] OC,NU † **7:12** και **f**35 𝔭45A,W [96%] HF,RP,CP,TR,OC ¦ — ℵB,D [4%] NU

οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ
αὐτοῦ‡ ἢ τῇ μητρὶ αὐτοῦ,§ 13 ἀκυροῦντες
τὸν λόγον τοῦ Θεοῦ τῇ παραδόσει* ὑμῶν ᾗ
παρεδώκατε. Καὶ παρόμοια τοιαῦτα πολλὰ
ποιεῖτε.»

### *That which really defiles*

14 Καὶ προσκαλεσάμενος πάντα† τὸν ὄχλον
ἔλεγεν αὐτοῖς· «Ἀκούετέ‡ μου πάντες, καὶ
συνίετε·§ 15 Οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου
εἰσπορευόμενον εἰς αὐτὸν ὃ δύναται αὐτὸν
κοινῶσαι·* ἀλλὰ τὰ ἐκπορευόμενα ἀπʼ αὐτοῦ,
ἐκεῖνά† ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρωπον.
16 Εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω.»‡
17 Καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ
ὄχλου, ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ
περὶ τῆς παραβολῆς.§ 18 Καὶ λέγει αὐτοῖς·
«Οὕτως καὶ ὑμεῖς ἀσύνετοί ἐστε; Οὐ* νοεῖτε

---

‡ **7:12** αυτου **f**35 A [97%] HF,RP,CP,TR,OC ¦ — אB,D,W [3%] NU § **7:12** αυτου **f**35 A [97%] HF,RP,CP,TR,OC ¦ — אB,D,W [3%] NU * **7:13** παραδοσει *rell* ¦ παραδωσει [2%] CP † **7:14** παντα **f**35 A,W [99%] HF,RP,CP,TR,OC ¦ παλιν אB,D [0.5%] NU ¦ — [0.5%] ‡ **7:14** ακουετε **f**35 אA,W [99%] HF,RP,CP,TR,OC ¦ ακουσατε B,D [1%] NU § **7:14** συνιετε **f**35 אA,W [99%] HF,RP,CP,TR,OC ¦ συνετε B [1%] NU ¦ συνιτε D * **7:15** αυτον κοινωσαι **f**35 𝔓45vA,D,W [99.5%] HF,RP,CP,TR,OC ¦ 21 א [0.5%] NU ¦ κοινουν 1 B † **7:15** εκπορευομενα απ αυτου εκεινα **f**35 A [99%] HF,RP,CP,TR ¦ 1 OC ¦ εκ του ανθρωπου 1 אB [0.5%] NU ¦ εκ του ανθρωπου 14 D,W [0.5%] ‡ **7:16** ει τις εχει ωτα ακουειν ακουετω **f**35 A,D,W (98.8%) HF,RP,CP,TR ¦ — אB (1.1%) OC,NU ¦ two other variants (0.1%) § **7:17** περι της παραβολης **f**35 A,W [99%] HF,RP,CP,TR,OC ¦ την παραβολην אB,D [1%] NU * **7:18** ου *rell* ¦ ουπω א [2%] OC

ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν
ἄνθρωπον οὐ δύναται αὐτὸν κοινῶσαι,
19 ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν
καρδίαν, ἀλλ᾽ εἰς τὴν κοιλίαν, καὶ εἰς τὸν
ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζον† πάντα
τὰ βρώματα;» 20 Ἔλεγεν δὲ ὅτι «Τὸ ἐκ τοῦ
ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν
ἄνθρωπον. 21 Ἔσωθεν γάρ, ἐκ τῆς καρδίας
τῶν ἀνθρώπων, οἱ διαλογισμοὶ οἱ κακοὶ
ἐκπορεύονται—μοιχεῖαι, πορνεῖαι, φόνοι,
22 κλοπαί,‡ πλεονεξίαι, πονηρίαι· δόλος,
ἀσέλγεια,§ ὀφθαλμὸς πονηρός, βλασφημία,
ὑπερηφανία, ἀφροσύνη— 23 πάντα ταῦτα τὰ
πονηρὰ ἔσωθεν ἐκπορεύεται καὶ κοινοῖ τὸν
ἄνθρωπον.»

### *Unusual faith*

24 Καὶ ἐκεῖθεν* ἀναστὰς ἀπῆλθεν εἰς τὰ
μεθόρια† Τύρου καὶ Σιδῶνος.‡ Καὶ εἰσελθὼν
εἰς§ οἰκίαν οὐδένα ἤθελεν γνῶναι, καὶ οὐκ
ἠδυνήθη λαθεῖν. 25 Ἀκούσασα γὰρ* γυνὴ περὶ

---

† **7:19** καθαριζον **f**35 [90%] HF,RP,CP,TR,OC ¦ καθαριζων ℵA,B,W [10%] NU ¦ καθαριζει D ‡ **7:22** μοιχειαι πορνειαι φονοι κλοπαι **f**35 A,N [98%] HF,RP,CP,TR,OC ¦ 2431 ℵB [1%] NU ¦ 1243 W [1%] ¦ 2 κλεμματα 13 (D) § **7:22** ασελγεια *rell* ¦ ασελγειαι [1%] CP ¦ ασελγιαι [2%] ¦ ασελγια ℵA [1%] * **7:24** και εκειθεν **f**35 A(D)N [99%] HF,RP,CP,TR,OC ¦ 1 W ¦ 2 δε ℵ(B) [1%] NU † **7:24** μεθορια **f**35 A,N [96%] HF,RP,CP,TR,OC ¦ ορια ℵB,D,W [4%] NU ‡ **7:24** και σιδωνος **f**35 ℵA,B,N [99%] HF,RP,CP,TR,OC ¦ — D,W [1%] NU § **7:24** εις *rell* ¦ 1 την D,W [10%] TR * **7:25** ακουσασα γαρ **f**35 A,N,W [99%] HF,RP,CP,TR,OC ¦ αλλ ευθυς 1 (ℵ)B [1%] NU ¦ δε ευθεως ως 1 D

αὐτοῦ, ἧς εἶχεν τὸ θυγάτριον αὐτῆς† πνεῦμα
ἀκάθαρτον, ἐλθοῦσα προσέπεσεν πρὸς τοὺς
πόδας αὐτοῦ. 26 Ἦν δὲ ἡ γυνὴ‡ Ἑλληνίς, Συρα-
Φοινίκισσα§ τῷ γένει, καὶ ἠρώτα αὐτὸν ἵνα
τὸ δαιμόνιον ἐκβάλῃ* ἐκ τῆς θυγατρὸς αὐτῆς.
27 Ὁ δὲ Ἰησοῦς εἶπεν† αὐτῇ, «Ἄφες πρῶτον
χορτασθῆναι τὰ τέκνα· οὐ γὰρ καλόν ἐστιν‡
λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς
κυναρίοις.»§ 28 Ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ,
«Ναί,* Κύριε, καὶ γὰρ† τὰ κυνάρια ὑποκάτω
τῆς τραπέζης ἐσθίει‡ ἀπὸ τῶν ψιχίων τῶν
παιδίων.» 29 Καὶ εἶπεν αὐτῇ, «Διὰ τοῦτον τὸν
λόγον ὕπαγε· ἐξελήλυθεν τὸ δαιμόνιον ἐκ τῆς
θυγατρός σου.»§ 30 Καὶ ἀπελθοῦσα εἰς τὸν

---

† **7:25** αυτης *rell* ¦ — 𝔭45אD,W [5%] CP ‡ **7:26** ην δε η γυνη **f**35 A,N [96%] HF,RP,CP,TR ¦ 3241 𝔭45אB,D,W [4%] OC,NU § **7:26** συρα-φοινικισσα **f**35 [50%] ¦ συραφοινικισσα B,N [38%] HF,RP,CP ¦ συραφοινισσα W [1%] ¦ συροφοινικισσα 𝔭45אA [10%] OC,NU ¦ συροφοινισσα TR ¦ φυνισσα D ¦ at least five further spellings * **7:26** εκβαλη **f**35 𝔭45אA,B,D,N,W [67%] HF,RP,CP,OC,NU ¦ εκβαλει [2%] ¦ εκβαλλη [30%] TR ¦ εκβαλλει [1%] † **7:27** ο δε ιησους ειπεν **f**35 A,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ και ελεγεν אB [1%] NU ¦ και λεγει D [0.5%] ‡ **7:27** καλον εστιν **f**35 A,N,W [97%] HF,RP,CP,TR ¦ 21 אB,D [3%] OC,NU § **7:27** βαλειν τοις κυναριοις **f**35 A,D,N,W [98%] HF,RP,CP,TR ¦ 231 𝔭45vאB [2%] OC,NU * **7:28** ναι **f**35 אA,B,N [99%] HF,RP,CP,TR,OC ¦ — 𝔭45D,W [1%] NU † **7:28** γαρ **f**35 A,N [98%] HF,RP,CP,TR ¦ — 𝔭45אB(D)W [2%] OC,NU ‡ **7:28** υποκατω της τραπεζης εσθιει **f**35 A,N [95%] HF,RP,CP,TR ¦ 123 εσθιουσιν B,D,W [5%] OC,NU ¦ εσθιουσιν 123 א § **7:29** το δαιμονιον εκ της θυγατρος σου **f**35 𝔭45A,D,N,W [97%] HF,RP,CP,TR,OC ¦ 345612 אB [1%] NU ¦ 12 απο 456 [2%]

οἶκον αὐτῆς εὗρεν τὸ δαιμόνιον ἐξεληλυθὸς
καὶ τὴν θυγατέρα βεβλημένην ἐπὶ τῆς κλίνης.*

### *Jesus heals a deaf mute*

31 Καὶ πάλιν, ἐξελθὼν ὁ Ἰησοῦς† ἐκ τῶν
ὁρίων Τύρου καὶ Σιδῶνος, ἦλθεν‡ πρὸς§
τὴν θάλασσαν τῆς Γαλιλαίας ἀνὰ μέσον
τῶν ὁρίων Δεκαπόλεως. 32 Καὶ φέρουσιν
αὐτῷ κωφὸν* μογγιλάλον† καὶ παρακαλοῦσιν
αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα. 33 Καὶ
ἀπολαβόμενος‡ αὐτὸν ἀπὸ τοῦ ὄχλου κατʼ
ἰδίαν, ἔβαλεν τοὺς δακτύλους αὐτοῦ εἰς τὰ
ὦτα αὐτοῦ· καὶ πτύσας ἥψατο τῆς γλώσσης
αὐτοῦ. 34 Καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν
ἐστέναξεν, καὶ λέγει αὐτῷ, «Ἐφφαθά,» ὅ ἐστιν,

---

* **7:30** το δαιμονιον εξεληλυθος και την θυγατερα βεβλημενην επι της κλινης **f**[35] 𝔭[45]A,N,W [97%] HF,RP,CP,TR ¦ 5 θυγατεραν 78 την κλινην 4123 D [1%] ¦ το παιδον βεβλημενον επι την κλινην 4123 אB [2%] OC,NU † **7:31** ο ιησους **f**[35] [50%] ¦ — 𝔭[45]אA,B,D,N,W [50%] HF,RP,CP,TR,OC,NU ‡ **7:31** και σιδωνος ηλθεν **f**[35] 𝔭[45]A,N,W (98.9%) HF,RP,CP,TR,OC ¦ 3 δια 2 אB,D (0.7%) NU ¦ three other variants (0.2%) ¦ long omission (0.2%) § **7:31** προς **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ εις אB,D,W [3.5%] NU ¦ παρα [0.5%] * **7:32** κωφον **f**[35] 𝔭[45]A,N [99%] HF,RP,CP,TR,OC ¦ 1 και אB,D,W [1%] NU † **7:32** μογγιλαλον **f**[35] N,W [70%] HF,RP,CP ¦ μογιλαλον 𝔭[45]אA,B,D [30%] TR,OC,NU (Since the following context indicates that there was indeed a problem with the tongue, the change to the single consonant was predictable; the reverse change seems highly unlikely.) ‡ **7:33** απολαβομενος *rell* ¦ επιλαβομενος [5%] CP ¦ προσλαβομενος W

«Διανοίχθητι.» 35 Καὶ εὐθέως§ διηνοίχθησαν*
αὐτοῦ αἱ ἀκοαί, καὶ ἐλύθη ὁ δεσμὸς τῆς
γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς. 36 Καὶ
διεστείλατο αὐτοῖς ἵνα μηδενὶ εἴπωσιν·†
ὅσον δὲ αὐτὸς‡ αὐτοῖς διεστέλλετο,§
μᾶλλον περισσότερον ἐκήρυσσον. 37 Καὶ
ὑπερπερισσῶς ἐξεπλήσσοντο, λέγοντες·
«Καλῶς πάντα πεποίηκεν. Καὶ τοὺς κωφοὺς
ποιεῖ ἀκούειν καὶ τοὺς* ἀλάλους λαλεῖν.»

# 8

## *Food for 4,000 men*

1 Ἐν ἐκείναις ταῖς ἡμέραις, παμπόλλου*
ὄχλου ὄντος καὶ μὴ ἐχόντων τί φάγωσιν,
προσκαλεσάμενος ὁ Ἰησοῦς† τοὺς μαθητὰς
αὐτοῦ‡ λέγει αὐτοῖς· 2 «Σπλαγχνίζομαι ἐπὶ τὸν
ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς§ προσμένουσίν

---

§ **7:35** ευθεως **f**$^{35}$ 𝔓$^{45}$A,N,W [99%] HF,RP,CP,TR,OC[NU] ¦ — אB,D [1%] * **7:35** διηνοιχθησαν **f**$^{35}$ A,N [97.5%] HF,RP,CP,TR,OC ¦ ηνοιγησαν B [1%] NU ¦ ηνυγησαν אD ¦ διηνυγησαν W ¦ three other variants [1%] † **7:36** ειπωσιν **f**$^{35}$ A,D,N [98%] HF,RP,CP,TR,OC ¦ λεγωσιν 𝔓$^{45v}$אB,W [2%] NU ‡ **7:36** αυτος **f**$^{35}$ 𝔓$^{45v}$N [95%] HF,RP,CP,TR,OC ¦ — אA,B(D)W [5%] NU § **7:36** διεστελλετο **f**$^{35}$ A,W [98%] HF,RP,CP,TR,OC ¦ 1 αυτοι אB(D)N [2%] NU * **7:37** τους **f**$^{35}$ A,D,N [99%] HF,RP,CP,TR,OC[NU] ¦ — אB(W) [1%] * **8:1** παμπολλου **f**$^{35}$ A [90.7%] HF,RP,CP,TR ¦ παμπολου [5%] ¦ παλιν πολλου אB,D,N,W (3.3%) OC,NU ¦ πολλου (0.5%) ¦ two other variants (0.3%) ¦ long omissions (0.2%) † **8:1** ο ιησους **f**$^{35}$ [90%] HF,RP,CP,TR,OC ¦ — אA,B,D,N,W [10%] NU ‡ **8:1** αυτου **f**$^{35}$ A,B,W [98%] HF,RP,CP,TR,OC ¦ — אD,N [2%] NU § **8:2** ημερας τρεις **f**$^{35}$ [50%] CP,TR ¦ ημεραι 2 אA(D)N,W [50%] HF,RP,OC,NU ¦ ημεραις τρισιν B

μοι καὶ οὐκ ἔχουσιν τί φάγωσιν. 3 Καὶ ἐὰν
ἀπολύσω αὐτοὺς νήστις* εἰς οἶκον αὐτῶν,
ἐκλυθήσονται ἐν τῇ ὁδῷ, τινὲς γὰρ† αὐτῶν‡
μακρόθεν ἥκουσιν.»§ 4 Καὶ ἀπεκρίθησαν αὐτῷ
οἱ μαθηταὶ αὐτοῦ,* «Πόθεν τούτους δυνήσεταί
τις ὧδε χορτάσαι ἄρτων ἐπ᾽ ἐρημίας;» 5 Καὶ
ἐπηρώτα† αὐτούς, «Πόσους ἔχετε ἄρτους;»
Οἱ δὲ εἶπον,‡ «Ἑπτά.» 6 Καὶ παρήγγειλεν§
τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς· καὶ λαβὼν
τοὺς ἑπτὰ ἄρτους καὶ* εὐχαριστήσας,
ἔκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ
ἵνα παραθῶσιν,† καὶ παρέθηκαν τῷ ὄχλῳ.
7 Καὶ εἶχον ἰχθύδια ὀλίγα· καὶ εὐλογήσας‡

---

* **8:3** νηστις **f35** ℵW [30%] CP ¦ νηστεις A,B,D,N [70%] HF,RP,TR,OC,NU † **8:3** τινες γαρ **f35** A,N [97%] HF,RP,CP,TR,OC ¦ και 1 ℵB(D)W [3%] NU ‡ **8:3** αυτων **f35** A,N [95%] HF,RP,CP,TR ¦ 1 απο ℵB,D,W [5%] OC,NU § **8:3** ηκουσιν **f35** [85%] HF,RP ¦ ηκασιν ℵA,D,N,W [15%] CP,TR,OC,NU ¦ εισιν B [0.5%] (Since the present tense of ἥκω has the force of the perfect, the majority reading is correct.) * **8:4** αυτου **f35** A,D,N(W) [99%] HF,RP,CP,TR,OC ¦ 1 οτι B [0.5%] NU ¦ 1 και ειπαν ℵ † **8:5** επηρωτα **f35** A,D,N [98%] HF,RP,CP,TR,OC ¦ ηρωτα ℵB [1%] NU ¦ ηρωτησεν W ¦ two other variants ‡ **8:5** ειπον *rell* ¦ ειπαν ℵB,N,W [1%] NU § **8:6** παρηγγειλεν **f35** A,C,N,W [99%] HF,RP,CP,TR,OC ¦ παραγγελλει ℵB,D [1%] NU ¦ two other variants * **8:6** και **f35** C,D [40%] ¦ — ℵA,B,N,W [60%] HF,RP,CP,TR,OC,NU † **8:6** παραθωσιν **f35** A,D,N,W [96%] HF,RP,CP,TR ¦ παρατιθωσιν ℵB,C [4%] OC,NU ‡ **8:7** ευλογησας **f35** (80%) HF,RP,CP,TR ¦ ταυτα 1 A (9.1%) ¦ αυτα 1 N,W (7.8%) OC ¦ 1 αυτα ℵB,C (2.2%) NU ¦ ευχαριστησας D (0.5%) ¦ long omissions (0.4%)

εἶπεν παραθεῖναι καὶ αὐτά.§ 8 Ἔφαγον δὲ*
καὶ ἐχορτάσθησαν· καὶ ἦραν περισσεύματα
κλασμάτων ἑπτὰ σπυρίδας. 9 Ἦσαν δὲ οἱ
φαγόντες† ὡς τετρακισχίλιοι· καὶ ἀπέλυσεν
αὐτούς. 10 Καὶ εὐθέως ἐμβὰς‡ εἰς τὸ πλοῖον
μετὰ τῶν μαθητῶν αὐτοῦ ἦλθεν εἰς τὰ μέρη
Δαλμανουθά.

### *Bad leaven*

11 Καὶ ἐξῆλθον οἱ Φαρισαῖοι καὶ ἤρξαντο
συζητεῖν αὐτῷ, ζητοῦντες παρ᾽ αὐτοῦ σημεῖον
ἀπὸ τοῦ οὐρανοῦ, πειράζοντες αὐτόν. 12 Καὶ
ἀναστενάξας τῷ πνεύματι αὐτοῦ λέγει· «Τί
ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ;§ Ἀμὴν λέγω
ὑμῖν, εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον.»
13 Καὶ ἀφεὶς αὐτούς, ἐμβὰς πάλιν* εἰς πλοῖον†
ἀπῆλθεν εἰς τὸ πέραν.‡

---

§ **8:7** παραθειναι και αυτα $\mathbf{f}^{35}$ [80%] HF,RP,CP,TR ¦ παραθηναι 23 [15%] ¦ παρατεθηναι 23 A ¦ παρατιθηναι 23 OC ¦ 2 ταυτα παρατιθεναι B [0.5%] NU ¦ 2 ταυτα παραθετε C ¦ παρεθηκεν א ¦ παραθεναι W ¦ 1 [1%] ¦ 1 αυτοις N ¦ at least seven further variants D [1%] * **8:8** εφαγον δε $\mathbf{f}^{35}$ A,N [97%] HF,RP,CP,TR,OC ¦ και 1 (א)B,C,D,W [3%] NU † **8:9** οι φαγοντες $\mathbf{f}^{35}$ A,C,D,N,W [99%] HF,RP,CP,TR ¦ — (א)B [1%] OC,NU ‡ **8:10** ευθεως εμβας $\mathbf{f}^{35}$ [90%] HF,RP,CP,TR ¦ 21 A,N [7%] ¦ ευθυς 2 אB,C [1%] NU ¦ 2 ευθυς W [2%] OC ¦ 1 ενεβη [0.5%] ¦ αυτος ανεβη D § **8:12** σημειον επιζητει $\mathbf{f}^{35}$ A,N,W [98%] HF,RP,CP,TR,OC ¦ 1 αιτει $\mathfrak{p}^{45}$ ¦ ζητει 1 אB,C,D [2%] NU * **8:13** εμβας παλιν $\mathbf{f}^{35}$ A,N [97%] HF,RP,CP,TR ¦ 21 $\mathfrak{p}^{45}$אB,C,D,W [3%] NU ¦ — OC † **8:13** εις πλοιον $\mathbf{f}^{35}$ A (62.1%) HF,RP,CP ¦ 1 το 2 $\mathfrak{p}^{45}$D,N,W (37.5%) TR,OC ¦ — אB,C (0.4%) NU ‡ **8:13** εις το περαν *rell* ¦ παλιν OC

14 (Καὶ ἐπελάθοντο οἱ μαθηταὶ αὐτοῦ§
λαβεῖν ἄρτους· καὶ εἰ μὴ ἕνα ἄρτον οὐκ εἶχον
μεθ᾽ ἑαυτῶν ἐν τῷ πλοίῳ.) 15 Καὶ διεστέλλετο
αὐτοῖς, λέγων, «Ὁρᾶτε· βλέπετε ἀπὸ τῆς ζύμης
τῶν Φαρισαίων καὶ τῆς ζύμης Ἡρῴδου.»
16 Καὶ διελογίζοντο πρὸς ἀλλήλους, λέγοντες*
ὅτι «Ἄρτους οὐκ ἔχομεν.»† 17 Καὶ γνοὺς ὁ
Ἰησοῦς‡ λέγει αὐτοῖς· «Τί διαλογίζεσθε ὅτι
ἄρτους οὐκ ἔχετε; Οὔπω νοεῖτε οὐδὲ συνίετε;
Ἔτι§ πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν;
18 Ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε, καὶ ὦτα
ἔχοντες οὐκ ἀκούετε, καὶ οὐ μνημονεύετε;
19 Ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς
τοὺς πεντακισχιλίους,* πόσους κοφίνους
πλήρεις κλασμάτων† ἤρατε;» Λέγουσιν
αὐτῷ, «Δώδεκα.» 20 «Ὅτε δὲ‡ τοὺς ἑπτὰ
εἰς τοὺς τετρακισχιλίους, πόσων σπυρίδων
πληρώματα κλασμάτων ἤρατε;» Οἱ δὲ εἶπον,§

---

§ **8:14** οι μαθηται αυτου **$f^{35}$** $\mathfrak{p}^{45}$W [35%] ¦ 12 D [1%] ¦ — ℵA,B,C,N [64%] HF,RP,CP,TR,OC, NU * **8:16** λεγοντες **$f^{35}$** A,C,N [98%] HF,RP,CP,TR,OC ¦ — $\mathfrak{p}^{45}$ℵB,D,W [2%] NU † **8:16** εχομεν **$f^{35}$** ℵA,C,N [98%] HF,RP,CP,TR,OC ¦ εχουσιν $\mathfrak{p}^{45}$B,W [2%] NU ¦ ειχαν D ‡ **8:17** ο ιησους **$f^{35}$** ℵA,C,D,N,W (99.6%) HF,RP,CP,TR,OC ¦ — B (0.3%) NU ¦ long omission (0.1%) § **8:17** ετι **$f^{35}$** A [95%] HF,RP,CP,TR,OC ¦ — $\mathfrak{p}^{45}$ℵB,C,D,N,W [5%] NU * **8:19** πεντακισχιλιους *rell* ¦ 1 και ℵC,D [5%] OC † **8:19** πληρεις κλασματων **$f^{35}$** $\mathfrak{p}^{45}$(A)N,W [90%] HF,RP,TR ¦ 21 ℵB,C(D) [9%] CP,OC,NU ¦ 2 [1%] ‡ **8:20** οτε δε **$f^{35}$** A,D,W (95.9%) HF,RP,CP,TR,OC ¦ 1 B (1.3%) NU ¦ 12 και C,N (0.7%) ¦ 1 και ℵ (0.4%) ¦ και 1 (0.4%) ¦ long omissions (1.3%) § **8:20** οι δε ειπον **$f^{35}$** $\mathfrak{p}^{45}$A,D,N,W (98.2%) HF,RP,CP,TR,OC ¦ 123 αυτω (0.4%) ¦ και λεγουσιν αυτω B,C (1.1%) [NU] ¦ λεγουσιν ℵ (0.2%) ¦ — (0.1%)

«Ἑπτά.» 21 Καὶ λέγει* αὐτοῖς, «Πῶς οὔπω†
συνίετε;»

## *A blind man*

22 Καὶ ἔρχεται‡ εἰς Βηθσαϊδάν·§ καὶ
φέρουσιν αὐτῷ τυφλὸν καὶ παρακαλοῦσιν
αὐτὸν ἵνα αὐτοῦ ἅψηται. 23 Καὶ ἐπιλαβόμενος
τῆς χειρὸς τοῦ τυφλοῦ ἐξήγαγεν* αὐτὸν
ἔξω τῆς κώμης, καὶ πτύσας εἰς τὰ ὄμματα
αὐτοῦ, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἐπηρώτα
αὐτὸν εἴ τι βλέπει.† 24 Καὶ ἀναβλέψας
ἔλεγεν, «Βλέπω τοὺς ἀνθρώπους ὅτι‡ ὡς
δένδρα ὁρῶ,§ περιπατοῦντας.» 25 Εἶτα πάλιν
ἐπέθηκεν τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς
αὐτοῦ, καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι·* καὶ

---

* **8:21** λεγει **f**$^{35}$ 𝔭$^{45}$D,W [50%] ¦ ελεγεν אA,B,C(N) [49%] HF,RP,CP,TR,OC,NU ¦ ειπεν [1%] † **8:21** πως ουπω **f**$^{35}$ A,D,N,W [40%] ¦ 1 ου B [55%] HF,RP,CP,TR ¦ 2 אC [4%] OC,NU ¦ 1 ουν 2 [1%] ‡ **8:22** ερχεται **f**$^{35}$ אA,N [97%] HF,RP,CP,TR,OC ¦ ερχονται 𝔭$^{45v}$B,C,D,W [3%] NU § **8:22** βηθσαιδαν **f**$^{35}$ 𝔭$^{45}$אA,B(W) (73.6%) HF,RP,TR,NU ¦ βηθσαιδα C,N (26.1%) CP,OC ¦ βηθανιαν D (0.3%) ¦ one other variant * **8:23** εξηγαγεν **f**$^{35}$ A,D,N,W (98.8%) HF,RP,CP,TR,OC ¦ εξηνεγκεν אB,C (1%) NU ¦ three other variants (0.2%) † **8:23** βλεπει **f**$^{35}$ אA,N(W) (98.9%) HF,RP,CP,TR,OC ¦ βλεπεις B,C,D (0.7%) NU ¦ βλεπειν (0.2%) ¦ two other variants (0.2%) ‡ **8:24** οτι **f**$^{35}$ אA,B,C,N [95%] HF,RP,TR,NU ¦ — D,W [5%] CP,OC § **8:24** ορω **f**$^{35}$ אA,B,C,N [95%] HF,RP,TR,NU ¦ — D,W [5%] CP,OC * **8:25** εποιησεν αυτον αναβλεψαι **f**$^{35}$ A,N [98%] HF,RP,CP,TR,OC ¦ διεβλεψεν אB,C,W [2%] NU ¦ ηρξατο 3 D

ἀποκατεστάθη† καὶ ἐνέβλεψεν‡ τηλαυγῶς
ἅπαντας.§ 26 Καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸν*
οἶκον αὐτοῦ, λέγων, «Μηδὲ εἰς τὴν κώμην
εἰσέλθῃς μηδὲ εἴπῃς τινὶ ἐν τῇ κώμῃ.»†

# Jesus declares His death, and ministers on that basis

*Peter is inspired*

27 Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ
εἰς τὰς κώμας Καισαρείας τῆς Φιλίππου· καὶ
ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ,
λέγων αὐτοῖς, «Τίνα με λέγουσιν οἱ ἄνθρωποι
εἶναι;» 28 Οἱ δὲ ἀπεκρίθησαν,‡ «Ἰωάννην τὸν
Βαπτιστήν, καὶ ἄλλοι Ἠλίαν, ἄλλοι δὲ ἕνα§
τῶν προφητῶν.» 29 Καὶ αὐτὸς λέγει αὐτοῖς,*
«Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι;» Ἀποκριθεὶς

---

† **8:25** αποκατεσταθη **f**35 D [75%] HF,RP,CP,TR,OC ¦ απεκατεσταθη A,N,W [24%] ¦ απεκατεστη ℵC [1%] NU ¦ αποκατεστη B ‡ **8:25** ενεβλεψεν **f**35 A,C,N [53%] RP,TR,OC ¦ ανεβλεψεν [45%] HF,CP ¦ ενεβλεπεν B [1%] NU ¦ εβλεψεν ℵ [0.5%] ¦ ανεβλεπεν W [0.5%] ¦ αναβλεψαι D § **8:25** απαντας **f**35 A,N [95%] HF,RP,CP,TR,OC ¦ απαντα ℵB,C [5%] NU ¦ παντα D(W) * **8:26** τον **f**35 W [70%] HF,RP,CP,TR,OC ¦ — (ℵ)A,B,C,D,N [30%] NU † **8:26** μηδε ειπης τινι εν τη κωμη **f**35 A,C,N (97.3%) HF,RP,CP,TR,OC ¦ μηδενι 21456 (1.8%) ¦ — ℵB,W (0.5%) NU ¦ μηδενι 2 εις 56 D ¦ four other variants (0.3%) ‡ **8:28** απεκριθησαν **f**35 A,N [97%] HF,RP,CP,TR,OC ¦ ειπαν αυτω λεγοντες οτι ℵB[NU] ¦ ειπαν αυτω λεγοντες οι μεν C [1.5%] ¦ 1 αυτω λεγοντες D [0.5%] ¦ 1 λεγοντες οι μεν W ¦ four other variants § **8:28** ενα **f**35 A,N,W [99%] HF,RP,CP,TR,OC ¦ οτι εις ℵB,C [0.5%] NU ¦ ως 1 D * **8:29** λεγει αυτοις **f**35 A,N,W [99%] HF,RP,CP,TR,OC ¦ επηρωτα αυτους ℵB,C,D [1%] NU

δὲ† ὁ Πέτρος λέγει αὐτῷ, «Σὺ εἶ ὁ Χριστός.»
30 Καὶ ἐπετίμησεν αὐτοῖς ἵνα μηδενὶ λέγωσιν
περὶ αὐτοῦ.
31 Καὶ ἤρξατο διδάσκειν αὐτοὺς ὅτι δεῖ
τὸν Υἱὸν τοῦ Ἀνθρώπου πολλὰ παθεῖν, καὶ
ἀποδοκιμασθῆναι ἀπὸ‡ τῶν πρεσβυτέρων
καὶ τῶν§ ἀρχιερέων καὶ τῶν* γραμματέων,
καὶ ἀποκτανθῆναι, καὶ μετὰ τρεῖς ἡμέρας
ἀναστῆναι. 32 Καὶ παρρησίᾳ τὸν λόγον ἐλάλει.
Καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος† ἤρξατο
ἐπιτιμᾶν αὐτῷ. 33 Ὁ δέ, ἐπιστραφεὶς καὶ
ἰδὼν τοὺς μαθητὰς αὐτοῦ, ἐπετίμησεν τῷ‡
Πέτρῳ, λέγων·§ «Ὕπαγε ὀπίσω μου, Σατανᾶ·
ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν
ἀνθρώπων.»

### *The cost of discipleship*

34 Καὶ προσκαλεσάμενος τὸν ὄχλον, σὺν
τοῖς μαθηταῖς αὐτοῦ, εἶπεν αὐτοῖς· «Ὅστις*
θέλει ὀπίσω μου ἀκολουθεῖν,† ἀπαρνησάσθω
ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ

---

† **8:29** αποκριθεις δε **f35** ℵC,D,W [98.5%] HF,RP,CP,TR,OC ¦ και 1 A,N [1%] ¦ 1 B [0.5%] NU ‡ **8:31** απο **f35** A [90%] HF,RP,CP,TR,OC ¦ υπο ℵB,C,D,N,W [10%] NU § **8:31** των **f35** ℵB,C,D,W [70%] HF,RP,CP,OC,NU ¦ — A,N [30%] TR * **8:31** των **f35** ℵB,C,D,W [80%] HF,RP,CP,OC,NU ¦ — A,N [20%] TR † **8:32** αυτον ο πετρος **f35** ℵA,C,W [99%] HF,RP,CP,TR,OC ¦ 231 B [0.5%] NU ¦ 23 D (N absent) ‡ **8:33** τω **f35** A,C,W [99.5%] HF,RP,CP,TR,OC ¦ — ℵB,D [0.5%] NU § **8:33** λεγων **f35** A,D,W [99%] HF,RP,CP,TR,OC ¦ και λεγει ℵB,C [1%] NU * **8:34** οστις **f35** A [95%] HF,RP,CP,TR,OC ¦ ει τις ℵB,C(D,W) [5%] NU † **8:34** ακολυθειν **f35** 𝔓45C,D,W [65%] HF,RP,CP,OC,NU ¦ ελθειν ℵA,B [35%] TR

ἀκολουθείτω μοι. 35 Ὂς γὰρ ἂν‡ θέλῃ τὴν
ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν· ὃς δ᾿ ἂν
ἀπολέσῃ§ τὴν ψυχὴν αὐτοῦ* ἕνεκεν ἐμοῦ καὶ
τοῦ εὐαγγελίου, οὗτος† σώσει αὐτήν. 36 Τί γὰρ
ὠφελήσει‡ ἄνθρωπον ἐὰν κερδήσῃ τὸν κόσμον
ὅλον,§ καὶ ζημιωθῇ* τὴν ψυχὴν αὐτοῦ; 37 Ἢ
τί δώσει† ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς
αὐτοῦ; 38 Ὃς γὰρ ἐὰν‡ ἐπαισχυνθῇ με καὶ τοὺς
ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι
καὶ ἁμαρτωλῷ, καὶ ὁ Υἱὸς τοῦ Ἀνθρώπου
ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ
τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν
ἁγίων.»

# 9

## *A miniature of the Kingdom*

‡ **8:35** αν **f**35 A,D,W [95%] HF,RP,CP,TR,OC ¦ εαν ℵB,C [5%] NU § **8:35** απολεση **f**35 A,W [95%] HF,RP,CP,TR,OC ¦ απολεσει ℵB,C [5%] NU ¦ — D * **8:35** ψυχην αυτου **f**35 𝔭45vℵA,B,C [45%] TR,NU ¦ εαυτου 1 W [55%] HF,RP,CP,OC ¦ — D † **8:35** ουτος **f**35 [90%] HF,RP,CP,TR,OC ¦ — 𝔭45ℵA,B,C,D,W [10%] NU ‡ **8:36** ωφελησει **f**35 A,C,D [99%] HF,RP,CP,TR,OC ¦ ωφελει W [0.5%] NU ¦ ωφελι ℵB ¦ one other variant § **8:36** εαν κερδηση τον κοσμον ολον **f**35 𝔭45vA,D,W [98%] HF,RP,CP,TR,OC ¦ 13452 C [0.5%] ¦ κερδησαι 345 ℵB [0.5%] NU ¦ three other variants * **8:36** ζημιωθη **f**35 A,C,D,W [99.5%] HF,RP,CP,TR,OC ¦ ζημιωθηναι ℵB [0.5%] NU † **8:37** η τι δωσει **f**35 A,C [98.5%] HF,RP,CP,TR,OC ¦ 2 γαρ 3 𝔭45W [1%] ¦ 2 γαρ δοι ℵB,NU ¦ 12 γαρ 3 D ‡ **8:38** εαν **f**35 𝔭45ℵB,C [58%] HF,RP,OC,NU ¦ αν (D)W [40%] TR ¦ — A [2%] CP

1 Καὶ ἔλεγεν αὐτοῖς, «Ἀμὴν λέγω ὑμῖν ὅτι
εἰσίν τινες τῶν ὧδε ἑστηκότων* οἵτινες οὐ
μὴ γεύσωνται† θανάτου ἕως ἂν ἴδωσιν τὴν
βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.»
2 Καὶ μεθ᾽‡ ἡμέρας ἓξ παραλαμβάνει ὁ
Ἰησοῦς τὸν Πέτρον καὶ τὸν§ Ἰάκωβον καὶ
τὸν* Ἰωάννην καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος
ὑψηλὸν κατ᾽ ἰδίαν μόνους. Καὶ μετεμορφώθη
ἔμπροσθεν αὐτῶν· 3 καὶ τὰ ἱμάτια αὐτοῦ
ἐγένετο† στίλβοντα, λευκὰ λίαν, ὡς χιών,‡ οἷα
κναφεὺς§ ἐπὶ τῆς γῆς οὐ δύναται* λευκᾶναι.
4 Καὶ ὤφθη αὐτοῖς Ἠλίας, σὺν Μωϋσῇ,†
καὶ ἦσαν συλλαλοῦντες τῷ Ἰησοῦ. 5 Καὶ
ἀποκριθεὶς ὁ Πέτρος λέγει τῷ Ἰησοῦ, «Ῥαββί,
καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ ποιήσωμεν

---

* **9:1** των ωδε εστηκοτων **f**35 A,C,N,W [99%] HF,RP,CP,TR,OC ¦ 213 B(D)NU ¦ 12 εστωτων א [0.5%] ¦ 132 𝔭45v [0.5%] † **9:1** γευσωνται *rell* ¦ γευσονται N [10%] ‡ **9:2** μεθ **f**35 𝔭45A,N,W [99%] HF,RP,CP,TR,OC ¦ μετα אB,C,D [1%] NU § **9:2** τον *rell* ¦ — [20%] (OC is in small print) * **9:2** τον **f**35 𝔭45אC,D,W [60%] TR,OC,NU ¦ — A,B,N [40%] HF,RP,CP (OC is in small print) † **9:3** εγενετο **f**35 𝔭45אB,C,W [55%] CP,TR,OC,NU ¦ εγενοντο A(D)N [45%] HF,RP ‡ **9:3** ως χιων **f**35 A(D)N (73.3%) HF,RP,CP,TR,OC ¦ ωσει 2 (25.6%) ¦ — 𝔭45vאB,C(W) (1%) NU ¦ one other variant § **9:3** κναφευς **f**35 [25%] ¦ γναφευς 𝔭45אA,B,C,N,W [75%] HF,RP,CP,TR,OC,NU ¦ — D * **9:3** δυναται **f**35 (𝔭45)A(D)W [95%] HF,RP,CP,TR ¦ 1 ουτως אB,C(N) [5%] OC,NU † **9:4** μωυση **f**35 אB,W [45%] ¦ μωυσει D,N [5%] OC,NU ¦ μωσει A [48%] CP,TR ¦ μωση 𝔭45C [2%] HF,RP

σκηνὰς τρεῖς·‡ σοὶ μίαν καὶ Μωσεῖ§ μίαν καὶ Ἠλίᾳ μίαν.»
6 (Οὐ γὰρ ᾔδει τί λαλήσει,* ἦσαν γὰρ ἔκφοβοι.)†
7 Καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς, καὶ ἦλθεν‡ Φωνὴ ἐκ τῆς νεφέλης·§ «Οὗτός ἐστιν ὁ Υἱός μου, ὁ ἀγαπητός. Αὐτοῦ ἀκούετε.»*
8 Καὶ ἐξάπινα περιβλεψάμενοι, οὐκέτι οὐδένα εἶδον ἀλλὰ† τὸν Ἰησοῦν μόνον μεθ᾽ ἑαυτῶν.

9 Καταβαινόντων δὲ‡ αὐτῶν ἀπὸ§ τοῦ ὄρους, διεστείλατο αὐτοῖς ἵνα μηδενὶ διηγήσωνται ἃ εἶδον,* εἰ μὴ ὅταν ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.
10 Καὶ τὸν λόγον ἐκράτησαν πρὸς ἑαυτούς, συζητοῦντες τί ἐστιν τὸ ἐκ νεκρῶν ἀναστῆναι.
11 Καὶ ἐπηρώτων αὐτόν, λέγοντες, «Ὅτι λέγουσιν οἱ γραμματεῖς ὅτι

---

‡ **9:5** σκηνας τρεις **f**[35] A,D,N,W [98%] HF,RP,CP,TR,OC ¦ 21 𝔭[45]אB,C [2%] NU § **9:5** μωσει **f**[35] A [65%] CP,TR ¦ μωση C [2%] HF,RP ¦ μωυσει אB,D,N [5%] OC,NU ¦ μωυση W [28%] * **9:6** λαλησει **f**[35] A,D,N [87%] HF,RP,CP ¦ λαληση [10%] TR,OC ¦ λαλει 𝔭[45]W ¦ αποκριθη B,C [3%] NU ¦ απεκριθη א ¦ two other variants † **9:6** ησαν γαρ εκφοβοι (εμφοβοι CP) **f**[35] 𝔭[45v]A,N,W [98%] (CP)HF,RP,TR,OC ¦ 32 εγενοντο אB,C,D [2%] NU ‡ **9:7** ηλθεν **f**[35] A,D,N [97%] HF,RP,CP,TR,OC ¦ εγενετο אB,C [2%] NU ¦ — W [1%] § **9:7** νεφελης **f**[35] (א)B,C,N [70%] HF,RP,CP,NU ¦ 1 λεγουσα A,D,W [30%] TR,OC * **9:7** αυτου ακουετε **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ 21 אB,C,D,W [4%] NU † **9:8** αλλα **f**[35] A,C,W (95.6%) HF,RP,TR,OC,NU ¦ ει μη א(B)D,N (4.4%) CP ‡ **9:9** καταβαινοντων δε **f**[35] A,W [98%] HF,RP,CP,TR,OC ¦ και 1 אB,C,D,N [2%] NU § **9:9** απο **f**[35] אA,C,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ εκ B,D [0.5%] NU * **9:9** διηγησωνται α ειδον **f**[35] A [92%] HF,RP,CP,TR,OC ¦ διηγησονται 23 N [5%] ¦ 231 אB,C [2%] NU ¦ 23 εξηγησονται W [1%] ¦ 2 ειδωσαν 1 D

Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;» 12 Ὁ δὲ ἀποκριθεὶς
εἶπεν† αὐτοῖς· «Ἠλίας μὲν ἐλθὼν πρῶτον
ἀποκαθιστᾷ‡ πάντα· καὶ πῶς γέγραπται ἐπὶ
τὸν Υἱὸν τοῦ Ἀνθρώπου ἵνα πολλὰ πάθῃ
καὶ ἐξουδενωθῇ.§ 13 Ἀλλὰ λέγω ὑμῖν ὅτι
καὶ ‹Ἠλίας› ἐλήλυθεν, καὶ ἐποίησαν αὐτῷ ὅσα
ἠθέλησαν»* (καθὼς γέγραπται ἐπ᾽ αὐτόν).

### *The nine couldn't do it*

14 Καὶ ἐλθὼν† πρὸς τοὺς μαθητάς, εἶδεν‡
ὄχλον πολὺν περὶ αὐτούς, καὶ γραμματεῖς
συζητοῦντας αὐτοῖς.§ 15 Καὶ εὐθέως* πᾶς
ὁ ὄχλος ἰδὼν† αὐτὸν ἐξεθαμβήθη,‡ καὶ
προστρέχοντες ἠσπάζοντο αὐτόν. 16 Καὶ
ἐπηρώτησεν τοὺς γραμματεῖς,§ «Τί συζητεῖτε

---

† **9:12** αποκριθεις ειπεν **f**$^{35}$ A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ εφη ℵB,C [1%] NU ‡ **9:12** αποκαθιστα **f**$^{35}$ N [97%] HF,RP,CP,TR,OC ¦ αποκαθιστανει A,W [2%] NU ¦ αποκατιστανει B ¦ αποκαταστανει (ℵ)D ¦ αποκαταστησει C [0.5%] § **9:12** εξουδενωθη **f**$^{35}$ A,C [97.5%] HF,RP,CP,TR,OC ¦ εξουθενωθη ℵ [0.5%] ¦ εξουδενηθη B,D [0.5%] NU ¦ εξουθενηθη N,W [1.5%] * **9:13** ηθελησαν **f**$^{35}$ A,N,W [99%] HF,RP,CP,TR,OC ¦ ηθελον ℵB,C,D [1%] NU † **9:14** ελθων **f**$^{35}$ A,C,D,N [99%] HF,RP,CP,TR,OC ¦ ελθοντες ℵB,W [1%] NU ‡ **9:14** ειδεν **f**$^{35}$ A,C,D,N [99%] HF,RP,CP,TR,OC ¦ ειδον ℵW [1%] NU ¦ ειδαν B § **9:14** αυτοις **f**$^{35}$ A,D,N [98%] HF,RP,CP,TR,OC ¦ προς αυτους B,C,W [2%] NU ¦ προς εαυτους ℵ * **9:15** ευθεως **f**$^{35}$ A,D,N [97%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C,W [3%] NU † **9:15** ιδων **f**$^{35}$ A,N [96%] HF,RP,CP,TR ¦ ιδοντες ℵB,C(D)W [4%] OC,NU ‡ **9:15** εξεθαμβηθη **f**$^{35}$ A,N [96%] HF,RP,CP,TR ¦ εξεθαμβηθησαν ℵB,C,W [4%] OC,NU ¦ εθαμβησαν D § **9:16** τους γραμματεις **f**$^{35}$ A,C,N [97%] HF,RP,CP,TR,OC ¦ αυτους ℵB,D,W [3%] NU

πρὸς αὐτούς;»* 17 Καὶ ἀποκριθεὶς† εἷς ἐκ τοῦ
ὄχλου εἶπεν·‡ «Διδάσκαλε, ἤνεγκα τὸν υἱόν
μου πρός σε, ἔχοντα πνεῦμα ἄλαλον. 18 Καὶ
ὅπου ἂν§ αὐτὸν καταλάβῃ ῥήσσει αὐτόν,
καὶ ἀφρίζει καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ,*
καὶ ξηραίνεται. Καὶ εἶπον† τοῖς μαθηταῖς
σου ἵνα αὐτὸ ἐκβάλωσιν, καὶ οὐκ ἴσχυσαν.»
19 Ὁ δὲ ἀποκριθεὶς αὐτῷ‡ λέγει·§ «Ὦ γενεὰ
ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι, ἕως
πότε ἀνέξομαι ὑμῶν; Φέρετε αὐτὸν πρός με.»
20 Καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν. Καὶ ἰδὸν*
αὐτόν, εὐθέως τὸ πνεῦμα ἐσπάραξεν† αὐτόν,
καὶ πεσὼν ἐπὶ τῆς γῆς ἐκυλίετο, ἀφρίζων.
21 Καὶ ἐπηρώτησεν τὸν πατέρα αὐτοῦ, «Πόσος
χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ;» Ὁ δὲ
εἶπεν·‡ «Παιδιόθεν. 22 Καὶ πολλάκις αὐτὸν καὶ

---

* **9:16** αυτους **f**$^{35}$ B,C,N [97%] HF,RP,TR,NU (some minuscules have aspiration) ¦ εαυτους ℵA,W [2.5%] CP,OC ¦ αλληλους [0.5%] ¦ υμειν D ¦ two other variants † **9:17** αποκριθεις **f**$^{35}$ A,N [97%] HF,RP,CP,TR,OC ¦ 1 αυτω C(W) [2%] ¦ απεκριθη αυτω ℵB,D [1%] NU ‡ **9:17** ειπεν **f**$^{35}$ A,C,N(W) [99%] HF,RP,CP,TR,OC ¦ — ℵB,D [1%] NU § **9:18** αν **f**$^{35}$ C,D,N,W [97%] HF,RP,CP,TR,OC ¦ εαν A,B [2%] NU ¦ — ℵ [1%] * **9:18** αυτου **f**$^{35}$ A,N [95%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,D,W [5%] NU † **9:18** ειπον *rell* ¦ ειπα ℵB,W [3%] NU ‡ **9:19** αυτω **f**$^{35}$ (N) [95%] HF,RP,CP,TR,OC ¦ αυτοις (𝔓$^{45}$)ℵA,B,D(W) [4%] NU ¦ — C [1%] § **9:19** λεγει *rell* ¦ ειπεν 𝔓$^{45}$ [0.5%] CP * **9:20** ιδον **f**$^{35}$ [30%] ¦ ιδων *rell* (It was the demon that saw Him, so the gender is neuter.) † **9:20** ευθεως το πνευμα εσπαραξεν **f**$^{35}$ 𝔓$^{45}$A,N,W [98%] HF,RP,CP,TR,OC ¦ 23 ευθυς συνεσπαραξεν ℵB,C [1%] NU ¦ 23 εταραξεν D ¦ three other variants ‡ **9:21** ειπεν **f**$^{35}$ A [95%] HF,RP,CP,TR,OC ¦ 1 εκ ℵB,C,D,N,W [5%] NU

εἰς πῦρ§ ἔβαλεν καὶ εἰς ὕδατα* ἵνα ἀπολέσῃ
αὐτόν. Ἀλλ᾽ εἴ τι δύνασαι,† βοήθησον ἡμῖν
σπλαγχνισθεὶς ἐφ᾽ ἡμᾶς.» 23 Ὁ δὲ Ἰησοῦς
εἶπεν αὐτῷ, «Τὸ εἰ δύνασαι‡ πιστεῦσαι·§
πάντα δυνατὰ τῷ πιστεύοντι.» 24 Καὶ εὐθέως*
κράξας ὁ πατὴρ τοῦ παιδίου, μετὰ δακρύων,†
ἔλεγεν, «Πιστεύω, Κύριε·‡ βοήθει μου τῇ
ἀπιστίᾳ.»
25 Ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει
ὁ § ὄχλος, ἐπετίμησεν τῷ πνεύματι τῷ
ἀκαθάρτῳ, λέγων αὐτῷ, «Τὸ πνεῦμα τὸ
ἄλαλον καὶ κωφόν,* ἐγώ σοι ἐπιτάσσω,†
ἔξελθε ἐξ αὐτοῦ καὶ μηκέτι εἰσέλθῃς εἰς
αὐτόν.» 26 Καὶ κράξαν‡ καὶ πολλὰ σπαράξαν§

§ **9:22** αυτον και εις πυρ **f**$^{35}$ N [47%] TR,OC ¦ 123 το 4 A [50%] HF,RP,CP ¦ 2341 ℵB,C [1%] NU ¦ 134 𝔭$^{45}$W [1%] ¦ 1342 D ¦ three other variants * **9:22** υδατα *rell* ¦ το υδωρ CP † **9:22** δυνασαι **f**$^{35}$ A,C,N [97%] HF,RP,CP,TR,OC ¦ δυνη 𝔭$^{45}$ℵB,D,W [3%] NU ‡ **9:23** δυνασαι **f**$^{35}$ A,C [97%] HF,RP,CP,TR,OC ¦ δυνη 𝔭$^{45}$ℵB,D,N,W [3%] NU § **9:23** πιστευσαι **f**$^{35}$ A,D [97%] HF,RP,CP,TR,OC ¦ — 𝔭$^{45}$ℵB,C,N,W [3%] NU * **9:24** και ευθεως **f**$^{35}$ 𝔭$^{45v}$A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ 1 ℵC ¦ ευθυς B [0.5%] NU ¦ ευθυς δε [0.5%] † **9:24** μετα δακρυων **f**$^{35}$ (D)N (98.9%) HF,RP,CP,TR,OC ¦ — (𝔭$^{45}$)ℵA,B,C (1%) NU ¦ W is wild ¦ one other variant ‡ **9:24** κυριε **f**$^{35}$ N [99%] HF,RP,CP,TR,OC ¦ — ℵA,B,C,D,W [1%] NU § **9:25** ο **f**$^{35}$ ℵA,W [60%] ¦ — B,C,D,N [40%] HF,RP,CP,TR,OC,NU * **9:25** το πνευμα το αλαλον και κωφον **f**$^{35}$ A,N [95%] HF,RP,CP,TR,OC ¦ 34562 𝔭$^{45}$ℵB,C,D,W [5%] NU † **9:25** σοι επιτασσω **f**$^{35}$ A,D,N [99%] HF,RP,CP,TR,OC ¦ 21 ℵB,C,W [1%] NU ‡ **9:26** κραξαν **f**$^{35}$ A,N [98.5%] HF,RP,CP,TR,OC ¦ κραξας ℵB,C,D,W [1.5%] NU § **9:26** σπαραξαν **f**$^{35}$ 𝔭$^{45v}$A,N [98.5%] HF,RP,CP,TR,OC ¦ σπαραξας ℵB,C,D,W [1.5%] NU

αὐτὸν* ἐξῆλθεν. Καὶ ἐγένετο ὡσεὶ νεκρός·
ὥστε† πολλοὺς λέγειν ὅτι ἀπέθανεν. 27 Ὁ δὲ
Ἰησοῦς κρατήσας αὐτὸν τῆς χειρὸς‡ ἤγειρεν
αὐτόν, καὶ ἀνέστη. 28 Καὶ εἰσελθόντα αὐτὸν§
εἰς οἶκον, οἱ μαθηταὶ αὐτοῦ ἐπηρώτων αὐτὸν
κατ᾽ ἰδίαν,* «Ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν
ἐκβαλεῖν αὐτό;» 29 Καὶ εἶπεν αὐτοῖς, «Τοῦτο
τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν εἰ μὴ ἐν
προσευχῇ καὶ νηστείᾳ.»†

## *Jesus predicts His death again*

30 Καὶ ἐκεῖθεν‡ ἐξελθόντες παρεπορεύοντο
διὰ τῆς Γαλιλαίας, καὶ οὐκ ἤθελεν ἵνα
τις γνῷ·§ 31 ἐδίδασκεν γὰρ τοὺς μαθητὰς
αὐτοῦ καὶ ἔλεγεν αὐτοῖς ὅτι, «Ὁ Υἱὸς τοῦ
Ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων,
καὶ ἀποκτενοῦσιν αὐτόν· καὶ ἀποκτανθεὶς τῇ

---

* **9:26** αυτον **f**35 אA,N [98.5%] HF,RP,CP,TR,OC ¦ — 𝔭45vB,C,D,W [1.5%] NU † **9:26** ωστε **f**35 C,D,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ 1 τους אA,B [1.5%] NU ‡ **9:27** αυτον της χειρος **f**35 A,N [95%] HF,RP,TR,OC ¦ 23 αυτου 𝔭45vאB,D [5%] CP,NU ¦ 123 αυτου C ¦ 23 W § **9:28** εισελθοντα αυτον **f**35 A,N [95%] HF,RP,CP,TR,OC ¦ εισελθοντος αυτου אB,C,D,W [5%] NU ¦ εισελθοντι αυτω 𝔭45 * **9:28** επηρωτων αυτον κατ ιδιαν **f**35 A,N [95%] HF,RP,CP,TR,OC ¦ 3412 א(B,C) [3%] NU ¦ 34 ηρωτων 2 D [1%] ¦ 34 και επηρωτησαν 2 W [1%] ¦ και ηρωτησαν 2 𝔭45 † **9:29** και νηστεια **f**35 A,C,D,N,W (1,651 mss) HF,RP,CP,TR,OC ¦ — אB (4 mss) NU ‡ **9:30** και εκειθεν **f**35 A,C,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ κακειθεν אB,D [1.5%] NU § **9:30** γνω **f**35 A,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ γνοι אB,C,D [1.5%] NU

τρίτῃ ἡμέρᾳ* ἀναστήσεται.» 32 Οἱ δὲ ἠγνόουν
τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι.

### *About humility*

33 Καὶ ἦλθεν† εἰς Καπερναούμ·‡ καὶ ἐν τῇ
οἰκίᾳ γενόμενος ἐπηρώτα αὐτούς, «Τί ἐν τῇ
ὁδῷ πρὸς ἑαυτοὺς§ διελογίζεσθε;» 34 Οἱ δὲ
ἐσιώπων, πρὸς ἀλλήλους γὰρ διελέχθησαν
ἐν τῇ ὁδῷ τίς μείζων. 35 Καὶ καθίσας
ἐφώνησεν τοὺς δώδεκα καὶ λέγει αὐτοῖς,
«Εἴ τις θέλει πρῶτος εἶναι, ἔσται* πάντων
ἔσχατος καὶ πάντων διάκονος.» 36 Καὶ λαβὼν
παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, καὶ
ἐναγκαλισάμενος αὐτὸ εἶπεν αὐτοῖς, 37 «Ὃς
ἐὰν† ἓν τῶν τοιούτων παιδίων‡ δέξηται ἐπὶ
τῷ ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν§
ἐμὲ δέξηται,* οὐκ ἐμὲ δέχεται ἀλλὰ τὸν
ἀποστείλαντά με.»

### *Either for, or against*

---

* **9:31** τη τριτη ημερα **f**35 A,N,W [99%] HF,RP,CP,TR,OC ¦ μετα τρεις ημερας ℵB,C,D [1%] NU † **9:33** ηλθεν **f**35 A,C,N [97%] HF,RP,CP,TR,OC ¦ ηλθον ℵB,W [2%] NU ¦ εισηλθεν [1%] ¦ ηλθοσαν D ‡ **9:33** καπερναουμ **f**35 A,C,N [99%] HF,RP,CP,TR,OC ¦ καφαρναουμ ℵB,D,W [1%] NU § **9:33** προς εαυτους **f**35 A,N(W) [99%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,D [1%] NU * **9:35** εσται **f**35 ℵA,B,C,N (80.6%) HF,RP,CP,TR,OC,NU ¦ εστω (19.2%) ¦ εστε W (0.2%) ¦ — D † **9:37** εαν **f**35 N [95%] HF,RP,CP,TR,OC ¦ αν ℵA,B,C,D,W [5%] NU ‡ **9:37** τοιουτων παιδιων *rell* ¦ 21 (ℵC) [1%] CP § **9:37** εαν **f**35 A,C,N [98%] HF,RP,CP,TR,OC ¦ αν B,D,W [2%] NU ¦ — ℵ * **9:37** δεξηται **f**35 A,C,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ δεχηται B [0.5%] NU ¦ δεχετε ℵ

38 Ἀπεκρίθη δὲ† αὐτῷ ὁ ‡ Ἰωάννης, λέγων,§
«Διδάσκαλε, εἴδομέν τινα* τῷ ὀνόματί σου
ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ
ἡμῖν·† καὶ ἐκωλύσαμεν‡ αὐτόν, ὅτι οὐκ
ἀκολουθεῖ§ ἡμῖν.»* 39 Ὁ δὲ Ἰησοῦς εἶπεν· «Μὴ
κωλύετε αὐτόν, οὐδεὶς γάρ ἐστιν ὃς ποιήσει
δύναμιν ἐπὶ τῷ ὀνόματί μου καὶ δυνήσεται
ταχὺ κακολογῆσαί με. 40 Ὃς γὰρ οὐκ ἔστιν
καθ᾽ ὑμῶν,† ὑπὲρ ὑμῶν‡ ἐστιν. 41 Ὃς γὰρ
ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος ἐν§ ὀνόματί
μου,* ὅτι Χριστοῦ ἐστέ, ἀμὴν λέγω ὑμῖν,† οὐ
μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

---

† **9:38** απεκριθη δε **f**35 A,N [97%] HF,RP,CP,TR ¦ εφη ℵB [1%] NU ¦ και αποκριθεις W [1%] ¦ 1 D [1%] OC ¦ αποκριθεις 2 εφη C ‡ **9:38** ο **f**35 ℵB,C,W [45%] CP,TR,OC,NU ¦ — A,D,N [55%] HF,RP § **9:38** λεγων **f**35 A,N [97%] HF,RP,CP,TR,OC ¦ ειπεν D,W [1%] ¦ λεγει [1%] ¦ — ℵB,C [1%] NU * **9:38** τινα **f**35 A [89%] HF,RP,CP,TR ¦ 1 εν ℵB,C,D,N,W [10%] OC,NU ¦ 1 επι [1%] † **9:38** ος ουκ ακολουθει ημιν **f**35 A(D)N,W (98.4%) HF,RP,CP,TR,OC ¦ — ℵB,C (1.5%) NU ¦ long omission (0.1%) ‡ **9:38** εκωλυσαμεν **f**35 A,C,N,W (90%) HF,RP,CP,TR,OC ¦ εκωλυομεν ℵB,D (1.7%) NU ¦ — (8.3%) part of a larger omission § **9:38** ακολουθει **f**35 A,C,N (85.4%) HF,RP,CP,TR,OC ¦ ηκολουθει ℵB,D (1.7%) NU ¦ omit four words D,W (4.6%) ¦ — (8.3%) part of a larger omission * **9:38** και εκωλυσαμεν αυτον οτι ουκ ακολουθει ημιν *rell* ¦ — (8.3%) [Obvious homoioteleuton] † **9:40** υμων **f**35 A,D,N [90%] HF,RP,CP,TR,OC ¦ ημων ℵB,C,W [10%] NU,some TRs ‡ **9:40** υμων **f**35 A,D,N [88%] HF,RP,CP,TR,OC ¦ ημων ℵB,C,W [12%] NU,some TRs § **9:41** εν **f**35 ℵA,B,C,N,W (81.8%) HF,RP,CP,NU ¦ 1 τω D (18%) TR,OC ¦ — (0.2%) * **9:41** μου **f**35 ℵD,W (95.1%) HF,RP,CP,TR,OC ¦ — A,B,C,N (4.9%) NU † **9:41** υμιν **f**35 A,N [98%] HF,RP,CP,TR,OC ¦ 1 οτι ℵB,C,D,W [2%] NU

### *About offenses*

42 »Καὶ ὃς ἐὰν‡ σκανδαλίσῃ ἕνα τῶν μικρῶν§
τῶν πιστευόντων εἰς ἐμέ,* καλόν ἐστιν αὐτῷ
μᾶλλον εἰ περίκειται λίθος μυλικὸς† περὶ
τὸν τράχηλον αὐτοῦ καὶ βέβληται εἰς τὴν
θάλασσαν. 43 Καὶ ἐὰν σκανδαλίζῃ σε ἡ
χείρ σου, ἀπόκοψον αὐτήν· καλόν σοί ἐστιν‡
κυλλὸν εἰς τὴν ζωὴν εἰσελθεῖν§ ἢ τὰς δύο
χεῖρας ἔχοντα ἀπελθεῖν εἰς τὴν Γέενναν, εἰς
τὸ πῦρ τὸ ἄσβεστον 44 —ὅπου ‹ὁ σκώληξ αὐτῶν
οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται.›* 45 Καὶ ἐὰν
ὁ πούς σου σκανδαλίζῃ σε, ἀπόκοψον αὐτόν·
καλόν ἐστίν σοι† εἰσελθεῖν εἰς τὴν ζωὴν
χωλὸν ἢ τοὺς δύο πόδας ἔχοντα βληθῆναι
εἰς τὴν Γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον
46 —ὅπου ‹ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ
πῦρ οὐ σβέννυται.›‡ 47 Καὶ ἐὰν ὁ ὀφθαλμός
σου σκανδαλίζῃ σε, ἔκβαλε αὐτόν· καλόν

---

‡ **9:42** εαν **f**[35] A,C [90%] HF,RP,CP ¦ αν ℵB,D,N,W [10%] TR,OC,NU § **9:42** μικρων **f**[35] [85%] HF,RP,TR ¦ 1 τουτων ℵA,B,C,D,N [15%] CP,OC,NU ¦ 1 μου W * **9:42** εις εμε **f**[35] A,B,N,W [99.5%] HF,RP,CP,TR,OC[NU] ¦ — ℵC,D [0.5%] † **9:42** λιθος μυλικος **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ μυλος ονικος ℵB,C,D [3%] NU ¦ μυλωνικος 1 [1%] ¦ μυλον ονικον W ‡ **9:43** σοι εστιν **f**[35] A,N,W [97%] HF,RP,CP,TR,OC ¦ 2 σε ℵB,C [3%] NU ¦ 21 D § **9:43** εις την ζωην εισελθειν **f**[35] N(W) [98%] HF,RP,CP,TR,OC ¦ 4123 ℵA,B,C,D [2%] NU * **9:44** verse 44 **f**[35] A,D,N [96%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,W [4%] NU † **9:45** εστιν σοι **f**[35] N [70%] HF,RP,CP,TR ¦ 1 σε ℵA,B,C [28%] NU ¦ 21 D,W [2%] OC ‡ **9:46** εις το πυρ το ασβεστον οπου ο σκωληξ αυτων ου τελευτα και το πυρ ου σβεννυται **f**[35] A,D,N [96%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,W [4%] NU

σοί § ἐστιν μονόφθαλμον εἰσελθεῖν εἰς τὴν
βασιλείαν τοῦ Θεοῦ ἢ * δύο ὀφθαλμοὺς ἔχοντα
βληθῆναι† εἰς τὴν Γέενναν τοῦ πυρός‡ 48 —
ὅπου ‹ὁ σκώληξ§ οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ
σβέννυται.›
49 »Πᾶς γὰρ πυρὶ ἁλισθήσεται, καὶ πᾶσα
θυσία ἁλὶ ἁλισθήσεται.* 50 Καλὸν τὸ ἅλας,
ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται, ἐν τίνι
αὐτὸ ἀρτύσετε; Ἔχετε ἐν ἑαυτοῖς ἅλας,† καὶ
εἰρηνεύετε ἐν ἀλλήλοις.»

# 10

*Down with divorce!*

1 Κἀκεῖθεν* ἀναστὰς ἔρχεται εἰς τὰ
ὅρια τῆς Ἰουδαίας, διὰ τοῦ† πέραν τοῦ
Ἰορδάνου. Καὶ συμπορεύονται πάλιν ὄχλοι
πρὸς αὐτόν, καὶ ὡς εἰώθει πάλιν ἐδίδασκεν
αὐτούς. 2 Καὶ προσελθόντες‡ Φαρισαῖοι

---

§ **9:47** σοι **f**$^{35}$ A,C,D,N [98%] HF,RP,CP,TR,OC ¦ σε ℵB [1%] NU ¦ — W [1%] * **9:47** η *rell* ¦ 1 τους D [1%] OC † **9:47** βληθηναι *rell* ¦ απελθειν D [1%] OC ‡ **9:47** του πυρος **f**$^{35}$ A,C,N (97.3%) HF,RP,CP,TR,OC ¦ — ℵB,D,W (1.5%) NU ¦ εις το πυρ (0.5%) ¦ long omissions (0.7%) § **9:48** σκωληξ **f**$^{35}$ [30%] ¦ 1 αυτων ℵA,B,C,D,N,W [70%] HF,RP,CP,TR,OC,NU * **9:49** και πασα θυσια αλι αλισθησεται **f**$^{35}$ A,C(D)N (88.5%) HF,RP,CP,TR,OC ¦ 1235 (4.4%) ¦ — (ℵ)B(W) (7%) NU ¦ one other variant † **9:50** αλας **f**$^{35}$ C,N [98%] HF,RP,CP,TR,OC ¦ αλα ℵA,B,D,W [2%] NU * **10:1** κακειθεν **f**$^{35}$ A,N [95%] HF,RP,TR ¦ και εκειθεν ℵB,C,D,W [5%] CP,OC,NU † **10:1** δια του **f**$^{35}$ A,N (84.7%) HF,RP,CP,TR,OC ¦ 1 το (1%) ¦ και ℵB,C (0.7%) NU ¦ εις το (0.5%) ¦ — D,W (12.8%) ¦ three other variants (0.2%) ‡ **10:2** προσελθοντες **f**$^{35}$ A,B (56.4%) HF,RP,CP,NU ¦ 1 οι ℵC,N(W) (43.5%) TR,OC ¦ — D (0.1%)

ἐπηρώτησαν§ αὐτόν, «Εἰ ἔξεστιν ἀνδρὶ
γυναῖκα ἀπολῦσαι;» πειράζοντες αὐτόν.
3 Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, «Τί ὑμῖν
ἐνετείλατο Μωσῆς;»* 4 Οἱ δὲ εἶπον, «Μωσῆς
ἐπέτρεψεν† βιβλίον ἀποστασίου γράψαι καὶ
ἀπολῦσαι.» 5 Καὶ ἀποκριθεὶς ὁ ‡ Ἰησοῦς
εἶπεν αὐτοῖς· «Πρὸς τὴν σκληροκαρδίαν ὑμῶν
ἔγραψεν ὑμῖν τὴν ἐντολὴν ταύτην. 6 Ἀπὸ
δὲ ἀρχῆς κτίσεως, ἄρσεν καὶ θῆλυ ἐποίησεν
αὐτοὺς ὁ Θεός.§,* 7 ‹Ἕνεκεν τούτου καταλείψει
ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ
προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ,† καὶ
ἔσονται οἱ δύο εἰς σάρκα μίαν.› 8 Ὥστε οὐκέτι
εἰσὶν δύο ἀλλὰ σὰρξ μία.‡ 9 Ὃ οὖν ὁ Θεὸς
συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.»
10 Καὶ ἐν τῇ οἰκίᾳ§ πάλιν οἱ μαθηταὶ αὐτοῦ*

---

§ **10:2** επηρωτησαν **f**$^{35}$ A,N,W [97%] HF,RP,TR ¦ επηρωτων ℵB,D [3%] CP,OC,NU ¦ επηρουν C ¦ one other variant * **10:3** μωσης **f**$^{35}$ A,C [80%] HF,RP,CP,TR ¦ μωυσης ℵB,D,N,W [20%] OC,NU (twice) † **10:4** μωσης επετρεψεν **f**$^{35}$ A,N,W [98.5%] HF,RP,CP,TR ¦ 21 ℵB,C,D [1.5%] OC,NU ‡ **10:5** και αποκριθεις ο **f**$^{35}$ A,D,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ ο δε ℵB,C [1.5%] NU § **10:6** ο θεος **f**$^{35}$ A,N(D,W) [99%] HF,RP,CP,TR,OC ¦ — ℵB,C [1%] NU * **10:6** θεος *rell* ¦ 1 και ειπεν D,N,W [5%] CP † **10:7** και προσκολληθησεται προς την γυναικα αυτου **f**$^{35}$ D,W [98%] HF,RP,CP,TR,OC[NU] ¦ 12 τη γυναικι 6 A,N [1.5%] ¦ 12 γυγυναικι 6 C ¦ — ℵB [0.5%] ‡ **10:8** σαρξ μια **f**$^{35}$ ℵA,C,W [35%] ¦ 21 B,D,N [65%] HF,RP,CP,TR,OC,NU § **10:10** εν τη οικια **f**$^{35}$ A,C,N,W [99%] HF,RP,CP,TR ¦ εις την οικιαν ℵB,D [1%] OC,NU * **10:10** αυτου **f**$^{35}$ A,D,N(W) [98%] HF,RP,CP,TR ¦ — ℵB,C [2%] OC,NU

περὶ τοῦ αὐτοῦ† ἐπηρώτησαν‡ αὐτόν. 11 Καὶ
λέγει αὐτοῖς, «Ὃς ἐὰν§ ἀπολύσῃ τὴν γυναῖκα
αὐτοῦ καὶ γαμήσῃ ἄλλην μοιχᾶται ἐπ᾽ αὐτήν·
12 καὶ ἐὰν γυνὴ ἀπολύσῃ* τὸν ἄνδρα αὐτῆς†
καὶ γαμηθῇ ἄλλῳ,‡ μοιχᾶται.»

### *Jesus blesses little children*

13 Καὶ προσέφερον αὐτῷ παιδία, ἵνα
ἅψηται αὐτῶν·§ οἱ δὲ μαθηταὶ ἐπετίμων
τοῖς προσφέρουσιν.* 14 Ἰδὼν δὲ ὁ Ἰησοῦς
ἠγανάκτησεν καὶ εἶπεν αὐτοῖς· «Ἄφετε τὰ
παιδία ἔρχεσθαι πρός με·† μὴ κωλύετε αὐτά,
τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ.
15 Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν‡ μὴ δέξηται τὴν
βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον οὐ μὴ εἰσέλθῃ

† **10:10** του αυτου **f**35 (D) [80%] HF,RP,CP,TR ¦ τουτου A,B,C,N [18%] OC,NU ¦ 2 [1%] ¦ τουτων א ¦ — W [1%] ‡ **10:10** επηρωτησαν **f**35 A,D,N(W) [98%] HF,RP,CP,TR ¦ επηρωτων אB [2%] OC,NU ¦ επηρωτουν C § **10:11** εαν **f**35 A,N,W [98%] HF,RP,CP,TR ¦ αν אB,C,D [2%] OC,NU * **10:12** γυνη απολυση **f**35 A,N(W) (96.3%) HF,RP,CP,TR ¦ 1 απολυσασα (1.8%) OC ¦ 1 εξελθη D (0.9%) ¦ αυτη απολυσασα אB,C (0.6%) NU ¦ two other variants (0.2%) ¦ long omissions (0.2%) † **10:12** αυτης *rell* ¦ — OC ‡ **10:12** και γαμηθη αλλω **f**35 A,N (95.9%) HF,RP,CP,TR ¦ γαμηση αλλον אB(D) (0.4%) NU ¦ 23 (1%) OC ¦ 12 (0.3%) ¦ 1 γαμηση 3 (0.5%) ¦ 1 γαμηση αλλον (D)W (1.5%) ¦ γαμηση 3 C (0.1%) ¦ 1 κοιμηθη 3 (0.3%) ¦ long omissions (0.2%) § **10:13** αψηται αυτων **f**35 A,D,N,W (93.3%) HF,RP,CP,TR ¦ 21 אB,C (6.7%) OC,NU * **10:13** επετιμων τοις προσφερουσιν **f**35 A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ επετιμησαν αυτοις אB,C [1%] NU † **10:14** με **f**35 B(N,W) [75%] HF,RP,CP,NU ¦ 1 και אA,C,D [25%] TR,OC ‡ **10:15** εαν **f**35 A,N [96%] HF,RP,CP,TR,OC ¦ αν אB,C,D,W [4%] NU

εἰς αὐτήν.» 16 Καὶ ἐναγκαλισάμενος αὐτά,
τιθεὶς τὰς χεῖρας ἐπ᾽ αὐτά, εὐλόγει αὐτά.§

## *A rich young man*

17 Καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδόν,*
προσδραμών τις† καὶ γονυπετήσας αὐτὸν
ἐπηρώτα αὐτόν, «Διδάσκαλε ἀγαθέ, τί ποιήσω
ἵνα ζωὴν αἰώνιον κληρονομήσω;» 18 Ὁ δὲ
Ἰησοῦς εἶπεν αὐτῷ· «Τί με λέγεις ἀγαθόν;
Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς, ὁ Θεός. 19 Τὰς
ἐντολὰς οἶδας· Μὴ μοιχεύσῃς, Μὴ φονεύσῃς,‡
Μὴ κλέψῃς, Μὴ ψευδομαρτυρήσῃς, Μὴ
ἀποστερήσῃς,§ Τίμα τὸν πατέρα σου καὶ
τὴν μητέρα.»* 20 Ὁ δὲ ἀποκριθεὶς εἶπεν† αὐτῷ,
«Διδάσκαλε, ταῦτα πάντα ἐφυλαξάμην ἐκ
νεότητός μου.»‡ 21 Ὁ δὲ Ἰησοῦς, ἐμβλέψας
αὐτῷ, ἠγάπησεν αὐτόν, καὶ εἶπεν αὐτῷ·§ «Ἕν

---

§ **10:16** τιθεις τας χειρας επ αυτα ευλογει αυτα **f**[35] A(D,W) [88.5%] HF,RP ¦ 12345 ηυλογει 7 (N) [10%] CP,TR ¦ κατευλογει 12345 ℵB,C [1.5%] NU ¦ κατηυλογει 12345 OC (each verb has at least five variants) * **10:17** οδον *rell* ¦ 1 ιδου τις πλουσιος A,W [10%] † **10:17** τις **f**[35] [20%] CP ¦ εις ℵB,C,D,N [70%] HF,RP,TR,OC,NU ¦ — A,W [10%] ‡ **10:19** μοιχευσης μη φονευσης **f**[35] A,N,W (93.4%) HF,RP,CP,TR,OC ¦ 321 B,C (4%) NU ¦ 1 (1.8%) ¦ 3 ℵ (0.3%) ¦ 12 πορνευσης D (0.4%) ¦ 12 πορνευσης 23 (0.2%) § **10:19** μη αποστερησης **f**[35] ℵA,C,D,N (83.9%) HF,RP,CP,TR,OC,NU ¦ — B,W (16.1%) * **10:19** μητερα **f**[35] A,B,D (87.9%) HF,RP,CP,TR,OC,NU ¦ 1 σου ℵC,N,W (12.1%) † **10:20** αποκριθεις ειπεν **f**[35] A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ 1 εφη C ¦ εφη ℵB [1%] NU ‡ **10:20** μου *rell* ¦ 1 τι ετι υστερω N(W) [10%] § **10:21** αυτω *rell* ¦ 1 ει θελεις τελειος ειναι N,W [10%] OC

σοι* ὑστερεῖ·† ὕπαγε, ὅσα ἔχεις πώλησον
καὶ δὸς‡ πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν
οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι, ἄρας τὸν
σταυρόν.»§
22 Ὁ δὲ στυγνάσας ἐπὶ τῷ λόγῳ
ἀπῆλθεν λυπούμενος, ἦν γὰρ ἔχων κτήματα
πολλά.
23 Καὶ περιβλεψάμενος ὁ Ἰησοῦς λέγει
τοῖς μαθηταῖς αὐτοῦ, «Πῶς δυσκόλως οἱ
τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τοῦ
Θεοῦ εἰσελεύσονται.»
24 Οἱ δὲ μαθηταὶ
ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ. Ὁ δὲ
Ἰησοῦς πάλιν ἀποκριθεὶς λέγει αὐτοῖς·
«Τέκνα, πῶς δύσκολόν ἐστιν τοὺς πεποιθότας
ἐπὶ χρήμασιν* εἰς τὴν βασιλείαν τοῦ Θεοῦ
εἰσελθεῖν.
25 Εὐκοπώτερόν γὰρ† ἐστιν
κάμηλον διὰ‡ τρυμαλιᾶς τῆς§ ῥαφίδος
εἰσελθεῖν* ἢ πλούσιον εἰς τὴν βασιλείαν
τοῦ Θεοῦ εἰσελθεῖν.»
26 Οἱ δὲ περισσῶς

---

* **10:21** σοι **f**35 A,D,N [98%] HF,RP,CP,TR ¦ σε אB,C,W [2%] OC,NU † **10:21** υστερει *rell* ¦ 1 ει θελεις τελειος ειναι [1%] OC ‡ **10:21** δος **f**35 A,B,N,W [80%] HF,RP,CP,OC ¦ 1 τοις אC,D [20%] TR[NU] § **10:21** αρας τον σταυρον **f**35 A,N (96.1%) HF,RP,CP,TR ¦ 123 σου (W) (2.5%) OC ¦ — אB,C,D (1.4%) NU * **10:24** τους πεποιθοτας επι χρημασιν **f**35 A,C,N (92.1%) HF,RP,CP,OC ¦ 234 (1.5%) ¦ 123 χρηματα (0.9%) ¦ 123 τοις 4 D (4%) TR ¦ τοις πεποιθωσιν 3 τοις 4 (0.7%) ¦ οι τα χρηματα εχοντες (0.4%) ¦ πλουσιον W ¦ — אB (5 mss) NU ¦ long omission (0.1%) (Is the omission not obviously inferior?) † **10:25** γαρ **f**35 [20%] CP ¦ δε A ¦ — אB,C(D)N,W [80%] HF,RP,TR,OC,NU ‡ **10:25** δια **f**35 אA,C,D,N,W [45%] OC ¦ 1 της B [55%] HF,RP,CP,TR[NU] § **10:25** της **f**35 B [80%] HF,RP,CP,TR[NU] ¦ — אA,C,D,N,W [20%] OC * **10:25** εισελθειν **f**35 אA,N,W [90%] HF,RP,CP,TR,OC ¦ διελθειν B,C [10%] NU ¦ διελευσεται D

ἐξεπλήσσοντο, λέγοντες πρὸς ἑαυτούς, «Καὶ
τίς δύναται σωθῆναι;» 27 Ἐμβλέψας δὲ† αὐτοῖς
ὁ Ἰησοῦς λέγει, «Παρὰ ἀνθρώποις ἀδύνατον,
ἀλλ᾽ οὐ παρὰ‡ Θεῷ· πάντα γὰρ δυνατά ἐστιν§
παρὰ τῷ Θεῷ.»

### *It pays to serve Jesus*

28 Ἤρξατο δὲ* ὁ Πέτρος λέγειν αὐτῷ,† «Ἰδού,
ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν‡
σοι.» 29 Ἀποκριθεὶς δὲ§ ὁ Ἰησοῦς εἶπεν·* «Ἀμὴν
λέγω ὑμῖν, οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν
ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα†
ἢ γυναῖκα‡ ἢ τέκνα ἢ ἀγρούς, ἕνεκεν ἐμοῦ
καὶ ἕνεκεν§ τοῦ εὐαγγελίου, 30 ἐὰν μὴ λάβῃ
ἑκατονταπλασίονα, νῦν ἐν τῷ καιρῷ τούτῳ—
οἰκίας καὶ ἀδελφοὺς καὶ ἀδελφὰς καὶ πατέρα καὶ

---

† **10:27** δε **f**[35] A,D,N,W [99%] HF,RP,CP,TR ¦ — ℵB,C [1%] OC,NU ‡ **10:27** παρα **f**[35] ℵB,C,N [90%] HF,RP,CP,OC,NU ¦ 1 τω A,D,W [10%] TR § **10:27** εστιν **f**[35] A,N [98%] HF,RP,CP,TR,OC ¦ — ℵB,C(D)W [2%] NU * **10:28** δε **f**[35] N [50%] CP ¦ — ℵA,B,C,W [30%] HF,RP,OC,NU ¦ και D [20%] TR ¦ ουν [0.5%] † **10:28** ο πετρος λεγειν αυτω **f**[35] A(D)N [97.5%] HF,RP,CP,TR,OC ¦ 3124 ℵB,C [1%] NU ¦ 4312 W [1%] ¦ 3412 [0.5%] ‡ **10:28** ηκολουθησαμεν **f**[35] ℵA,N [99.5%] HF,RP,CP,TR,OC ¦ ηκολουθηκαμεν B,C,D,W [0.5%] NU § **10:29** αποκριθεις δε **f**[35] D [50%] HF,CP,TR,OC ¦ 1 A,W [20%] RP ¦ και 1 C,N [29%] ¦ — ℵB [1%] NU * **10:29** ο ιησους ειπεν **f**[35] A,C,N,W [99%] HF,RP,CP,TR,OC ¦ εφη 12 B [0.5%] NU ¦ εφη αυτω 12 ℵ ¦ 12 D ¦ one other variant † **10:29** πατερα η μητερα **f**[35] ℵA,N [99%] HF,RP,CP,TR,OC ¦ 321 B,C,W [1%] NU ¦ 3 D ‡ **10:29** η γυναικα **f**[35] A,C,N (98.1%) HF,RP,CP,TR,OC ¦ — ℵB,D,W (1.8%) NU ¦ two other variants (0.1%) § **10:29** ενεκεν **f**[35] C,N,W [90%] HF,RP,CP,OC,NU ¦ — ℵA,B [10%] TR ¦ ενεκα D [0.5%]

μητέρα* καὶ τέκνα καὶ ἀγρούς (μετὰ διωγμῶν)
—καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.
31 Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι καὶ†
ἔσχατοι πρῶτοι.»

## *Jesus predicts His death a third time*

32 Ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς
Ἱεροσόλυμα, καὶ ἦν προάγων αὐτοὺς‡ ὁ
Ἰησοῦς· καὶ ἐθαμβοῦντο, καὶ§ ἀκολουθοῦντες
ἐφοβοῦντο. Καὶ παραλαβὼν πάλιν τοὺς
δώδεκα ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα
αὐτῷ συμβαίνειν, 33 ὅτι «Ἰδού, ἀναβαίνομεν
εἰς Ἱεροσόλυμα, καὶ ὁ Υἱὸς τοῦ Ἀνθρώπου
παραδοθήσεται τοῖς ἀρχιερεῦσιν καὶ τοῖς
γραμματεῦσιν·* καὶ κατακρινοῦσιν αὐτὸν
θανάτῳ καὶ παραδώσουσιν αὐτὸν τοῖς
ἔθνεσιν· 34 καὶ ἐμπαίξουσιν αὐτῷ, καὶ
μαστιγώσουσιν αὐτόν, καὶ ἐμπτύσουσιν
αὐτῷ,† καὶ ἀποκτενοῦσιν αὐτόν.‡ Καὶ τῇ

---

* **10:30** πατερα και μητερα **f**$^{35}$ [40%] OC ¦ πατερας 2 μητερας N [2%] ¦ μητερας B [55%] HF,RP,CP,TR,NU ¦ 3 A,C,D,W [3%] ¦ long omission ℵ † **10:31** και **f**$^{35}$ ℵA,D,W [70%] HF,RP,CP,OC ¦ 1 οι B,C,N [30%] TR[NU] ‡ **10:32** αυτους *rell* ¦ αυτων CP ¦ αυτοις [2%] § **10:32** και **f**$^{35}$ A,N [96%] HF,RP,CP,TR,OC ¦ οι δε ℵB,C [2%] NU ¦ — D,W [2%] * **10:33** και τοις γραμματευσιν **f**$^{35}$ A,B [40%] TR,NU ¦ 13 C,D,N,W [60%] HF,RP,CP,OC ¦ — ℵ [0.5%] † **10:34** μαστιγωσουσιν αυτον και εμπτυσουσιν αυτω **f**$^{35}$ A,W [96%] HF,RP,CP,TR,OC ¦ 45312 (ℵ)B,C [2%] NU ¦ 12 [1%] ¦ 1345 N ¦ ενπτυξουσιν 5 D [0.5%] ‡ **10:34** αυτον **f**$^{35}$ A,C,N,W [98%] HF,RP,CP,TR,OC ¦ — ℵB(D) [2%] NU

τρίτῃ ἡμέρᾳ§ ἀναστήσεται.»

*Selfish ambition rebuked*

35 Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ
Ἰωάννης, οἱ* υἱοὶ Ζεβεδαίου, λέγοντες,†
«Διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν‡
ποιήσῃς ἡμῖν.» 36 Ὁ δὲ εἶπεν αὐτοῖς, «Τί
θέλετε ποιῆσαί με§ ὑμῖν;» 37 Οἱ δὲ εἶπον*
αὐτῷ, «Δὸς ἡμῖν ἵνα εἷς ἐκ δεξιῶν σου†
καὶ εἷς ἐξ εὐωνύμων σου‡ καθίσωμεν ἐν
τῇ δόξῃ σου.» 38 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς·
«Οὐκ οἴδατε τί αἰτεῖσθε. Δύνασθε πιεῖν τὸ
ποτήριον ὃ ἐγὼ πίνω, καὶ§ τὸ βάπτισμα ὃ
ἐγὼ βαπτίζομαι βαπτισθῆναι;» 39 Οἱ δὲ εἶπον*
αὐτῷ, «Δυνάμεθα.» Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς·

---

§ **10:34** τη τριτη ημερα **f**35 A,N,W (99%) HF,RP,CP,TR,OC ¦ μετα τρεις ημερας אB,C,D (0.7%) NU ¦ long omission (0.3%) * **10:35** οι **f**35 אD,W (67.3%) HF,RP,CP,TR,NU ¦ — A,N (32.4%) OC ¦ 1 δυο B,C (0.3%) † **10:35** λεγοντες **f**35 A,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ 1 αυτω אB,C(D) [1.5%] NU ‡ **10:35** αιτησωμεν **f**35 [93%] HF,RP,CP,TR,OC ¦ 1 σε (A)B,C [1%] NU ¦ σε 1 N [5%] ¦ σε ερωτησωμεν D [0.5%] ¦ σε αιτησωμεθα W ¦ long omission א
§ **10:36** ποιησαι με **f**35 A,N (90.7%) HF,RP,CP,TR,OC ¦ 21 (0.9%) ¦ 1 W (2.5%) ¦ ποιησω C(D) (2.7%) ¦ ποιησω 2 (0.1%) ¦ 2 ποιησω B (0.3%) [NU] ¦ ινα ποιησω (2.1%) ¦ long omissions א (0.6%)
* **10:37** ειπον *rell* ¦ ειπαν B,C,D [0.5%] NU ¦ long omission א
† **10:37** εκ δεξιων σου **f**35 A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ 312 אB,C [1%] NU ‡ **10:37** εξ ευωνυμων σου **f**35 A,C,N [98%] HF,RP,CP,TR,OC ¦ 12 D,W [1%] ¦ 312 א ¦ 1 αριστερων B [0.5%] NU
§ **10:38** και **f**35 A [95%] HF,RP,CP,TR,OC ¦ η אB,C,D,N,W [5%] NU
* **10:39** ειπον *rell* ¦ ειπαν אB,D,W [1%] NU ¦ λεγουσιν [0.5%]

«Τὸ μὲν† ποτήριον ὃ ἐγὼ πίνω πίεσθε, καὶ τὸ
βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε·
40 τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ‡ ἐξ
εὐωνύμων μου§ οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ᾽
οἷς ἡτοίμασται.»
41 Καὶ ἀκούσαντες οἱ δέκα ἤρξαντο
ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου. 42 Ὁ
δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς* λέγει
αὐτοῖς· «Οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν
τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ
μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν.
43 Οὐχ οὕτως δὲ ἔσται† ἐν ὑμῖν, ἀλλ᾽ ὃς
ἐὰν‡ θέλῃ γενέσθαι μέγας§ ἐν ὑμῖν, ἔσται
ὑμῶν διάκονος,* 44 καὶ ὃς ἐὰν† θέλῃ ὑμῶν
γενέσθαι‡ πρῶτος, ἔσται πάντων δοῦλος.
45 Καὶ γὰρ ὁ Υἱὸς τοῦ Ἀνθρώπου οὐκ ἦλθεν
διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι

---

† **10:39** μεν **f35** A,D,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ —ℵB,C [0.5%] NU ‡ **10:40** και **f35** A,C,N [98.5%] HF,RP,CP,TR,OC ¦ η ℵB,D,W [1.5%] NU § **10:40** μου **f35** [35%] TR ¦ — ℵA,B,C,D,N,W [65%] HF,RP,CP,OC,NU * **10:42** ο δε ιησους προσκαλεσαμενος αυτους **f35** A,N [98%] HF,RP,CP,TR,OC ¦ και 4513 (ℵ)B,C,D [1.5%] NU ¦ 1234 [0.5%] ¦ 124 W † **10:43** εσται **f35** A,N (97.5%) HF,RP,CP,TR,OC ¦ εστιν ℵB,C(D,W) (1.6%) [NU] ¦ εστε (0.8%) ¦ two other variants ‡ **10:43** εαν **f35** A,C [97%] HF,RP,CP,TR,OC ¦ αν ℵB,D(W) [3%] NU (N vacant) § **10:43** γενεσθαι μεγας **f35** A [95%] HF,RP,CP,TR,OC ¦ 21 ℵB,C(W) [5%] NU ¦ 2 ειναι D * **10:43** υμων διακονος **f35** ℵA,B,C,D,W [98%] HF,RP,CP,OC,NU ¦ 21 [2%] TR † **10:44** εαν **f35** A,C [85%] HF,RP,CP,OC ¦ αν ℵB,D,W [15%] TR,NU ‡ **10:44** υμων γενεσθαι **f35** A [95%] HF,RP,CP,TR,OC ¦ εν υμιν ειναι ℵB,C [2%] NU ¦ 21 [2%] ¦ 1 ειναι D,W [1%]

τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.»

*Blind Bartimaeus*

46 Καὶ ἔρχονται εἰς Ἱεριχώ.§ Καὶ
ἐκπορευομένου αὐτοῦ ἀπὸ Ἱεριχώ, καὶ τῶν
μαθητῶν αὐτοῦ καὶ ὄχλου ἱκανοῦ,* υἱὸς
Τιμαίου, Βαρτιμαῖος ὁ † τυφλός, ἐκάθητο
παρὰ τὴν ὁδὸν προσαιτῶν.‡ 47 Καὶ ἀκούσας
ὅτι Ἰησοῦς ὁ Ναζωραῖός ἐστιν,§ ἤρξατο
κράζειν καὶ λέγειν, «Ὁ υἱὸς* Δαυίδ, Ἰησοῦ,
ἐλέησόν με.» 48 Καὶ ἐπετίμων αὐτῷ πολλοὶ
ἵνα σιωπήσῃ, ὁ δὲ πολλῷ μᾶλλον ἔκραζεν,
«Υἱὲ Δαυίδ, ἐλέησόν με.» 49 Καὶ στὰς ὁ Ἰησοῦς
εἶπεν αὐτὸν φωνηθῆναι.† Καὶ φωνοῦσιν τὸν
τυφλόν, λέγοντες αὐτῷ, «Θάρσει, ἔγειραι,‡
φωνεῖ σε.» 50 Ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον
αὐτοῦ, ἀναστὰς§ ἦλθεν πρὸς τὸν Ἰησοῦν.

---

§ **10:46** ἱεριχω **f**$^{35}$ OC ¦ ἱεριχω HF,RP,CP,TR,NU (twice) * **10:46** ικανου **f**$^{35}$ A [90%] HF,RP,CP,TR ¦ 1 ο אB,C,D,W [10%] OC,NU † **10:46** ο **f**$^{35}$ A,C [98%] HF,RP,CP,TR ¦ — אB,D,W [2%] OC,NU ‡ **10:46** εκαθητο παρα την οδον προσαιτων **f**$^{35}$ A,W (99%) HF,RP,CP,TR,OC ¦ 1234 C (0.2%) ¦ (+και א) προσαιτης 1234 (א)B (0.5%) NU ¦ 1234 επαιτων D (0.2%) ¦ two other variants § **10:47** ο ναζωραιος εστιν **f**$^{35}$ אA,C (98.5%) HF,RP,CP,TR,OC ¦ 1 ναζωρηνος 3 (0.4%) ¦ 1 ναζαρηνος 3 (D)W (1.1%) NU ¦ 31 ναζαρηνος B ¦ one other variant * **10:47** ο υιος **f**$^{35}$ A,W [97%] HF,RP,CP,TR ¦ 2 D [1.5%] ¦ υιε אB,C [1.5%] OC,NU † **10:49** αυτον φωνηθηναι **f**$^{35}$ A,D,W [96.5%] HF,RP,CP,TR ¦ αυτω 2 [1%] ¦ 21 [1%] ¦ φωνησατε 1 אB,C [1.5%] OC,NU ‡ **10:49** εγειραι **f**$^{35}$ [70%] HF,RP,CP,TR ¦ εγειρε אA,B,C,D,W [28%] OC,NU ¦ εγειρου [2%] § **10:50** αναστας **f**$^{35}$ A,C,W [98.5%] HF,RP,CP,TR,OC ¦ αναπηδησας אB,D [1.5%] NU

51 Καὶ ἀποκριθεὶς λέγει αὐτῷ ὁ Ἰησοῦς,*
«Τί θέλεις ποιήσω σοί;»† Ὁ δὲ τυφλὸς εἶπεν
αὐτῷ, «Ῥαβουνί,‡ ἵνα ἀναβλέψω.» 52 Ὁ δὲ§
Ἰησοῦς εἶπεν αὐτῷ, «Ὕπαγε· ἡ πίστις σου
σέσωκέν σε.» Καὶ εὐθέως* ἀνέβλεψεν, καὶ
ἠκολούθησεν† τῷ Ἰησοῦ‡ ἐν τῇ ὁδῷ.

# The last week

# 11

## *The ‘triumphal’ entry—Sunday, 03/31/30 AD*

1 Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἱερουσαλήμ,* εἰς
Βηθσφαγῆ† καὶ Βηθανίαν, πρὸς τὸ Ὄρος τῶν
Ἐλαιῶν, ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ
2 καὶ λέγει αὐτοῖς· «Ὑπάγετε εἰς τὴν κώμην τὴν
κατέναντι ὑμῶν· καὶ εὐθέως‡ εἰσπορευόμενοι
εἰς αὐτὴν εὑρήσετε πῶλον δεδεμένον, ἐφ᾽

---

* **10:51** λεγει αυτω ο ιησους **f**35 A,W [95%] HF,RP,CP,TR,OC ¦ 234 ειπεν אB,C,D [1.5%] NU ¦ 3412 [3%] ¦ two other variants [0.5%] † **10:51** θελεις ποιησω σοι **f**35 A,D,W [96%] HF,RP,CP,TR ¦ 312 אB,C [4%] OC,NU ‡ **10:51** ραβουνι **f**35 [35%] CP ¦ ραββουνι אA,W [59%] HF,RP,OC,NU ¦ ραββονι [5%] TR ¦ ραββουνει B,C [0.5%] ¦ κυριε ραββει D ¦ two other variants [0.5%] § **10:52** ο δε **f**35 אA,C,D(W) [99%] HF,RP,CP,TR ¦ και 1 B [1%] OC,NU * **10:52** ευθεως **f**35 A,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς אB [1%] NU † **10:52** ηκολουθησεν **f**35 [30%] CP ¦ ηκολουθει אA,B,C,D,W [69%] HF,RP,TR,OC,NU ¦ ηκολουθη [1%] ‡ **10:52** τω ιησου **f**35 [95%] HF,RP,CP,TR,OC ¦ αυτω אA,B,C,D,W [5%] NU * **11:1** ιερουσαλημ **f**35 A [90%] HF,RP,CP,TR,OC ¦ ιεροσαλυμα אB,C,D,W [10%] NU † **11:1** βηθσφαγη **f**35 [70%] HF,RP,CP,OC ¦ βηθφαγη אA,C,W [30%] TR,NU ¦ βηδφαγη B ¦ — D ‡ **11:2** ευθεως **f**35 A,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς אB [1%] NU

ὃν οὐδεὶς ἀνθρώπων§ κεκάθικεν. Λύσαντες
αὐτὸν ἀγάγετε.* 3 Καὶ ἐάν τις ὑμῖν εἴπῃ,
‹Τί ποιεῖτε τοῦτο;› εἴπατε ὅτι† ‹Ὁ Κύριος αὐτοῦ
χρείαν ἔχει,› καὶ εὐθέως‡ αὐτὸν ἀποστέλλει§
ὧδε.»
4 Ἀπῆλθον δὲ* καὶ εὗρον τὸν† πῶλον
δεδεμένον πρὸς τὴν‡ θύραν, ἔξω ἐπὶ τοῦ
ἀμφόδου, καὶ λύουσιν αὐτόν. 5 Καί τινες
τῶν ἐκεῖ ἑστώτων§ ἔλεγον αὐτοῖς, «Τί
ποιεῖτε, λύοντες τὸν πῶλον;» 6 Οἱ δὲ
εἶπον* αὐτοῖς καθὼς ἐνετείλατο† ὁ Ἰησοῦς,
καὶ ἀφῆκαν αὐτούς. 7 Καὶ ἤγαγον‡ τὸν
πῶλον πρὸς τὸν Ἰησοῦν, καὶ ἐπέβαλον§
αὐτῷ τὰ ἱμάτια αὐτῶν, καὶ ἐκάθισεν ἐπ᾽

---

§ **11:2** ανθρωπων **f**35 D [95%] HF,RP,CP,TR,OC ¦ 1 ουπω אC [1%] ¦ ουπω 1 B(W) [3%] NU ¦ πωποτε 1 A [0.5%] * **11:2** κεκαθικεν (-ηκεν 2%) λυσαντες αυτον αγαγετε **f**35 A(D)(W) [99%] HF,RP,CP,TR,OC ¦ εκαθισεν λυσατε αυτον και φερετε אB,C [1%] NU † **11:3** οτι **f**35 אA,C,D,W [99.5%] HF,RP,CP,TR,OC ¦ — B [0.5%] NU ‡ **11:3** ευθεως **f**35 A,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς אB,C,D [1%] NU § **11:3** αυτον αποστελλει **f**35 A [83%] HF,RP,CP ¦ 21 [1%] ¦ 1 αποστελει W [15%] TR ¦ 12 παλιν אD [0.5%] OC,NU ¦ 2 παλιν 1 B ¦ παλιν 12 C * **11:4** απηλθον δε **f**35 A,C,W [97%] HF,RP,CP,TR,OC ¦ 1 ουν [2%] ¦ και 1 אB [0.5%] NU ¦ και απελθοντες D [0.5%] † **11:4** τον **f**35 אC [65%] TR,OC ¦ — A,B,D,W [35%] HF,RP,CP,NU ‡ **11:4** την **f**35 אA,C,D [99%] HF,RP,CP,TR,OC ¦ — B,W [1%] NU § **11:5** εστωτων **f**35 W [30%] CP ¦ εστηκοτων אA,B,C,D [70%] HF,RP,TR,OC,NU * **11:6** ειπον *rell* ¦ ειπαν A [1%] NU † **11:6** ενετειλατο **f**35 A [96%] HF,RP,CP,TR,OC ¦ ειπεν אB,C,W [4%] NU ¦ ειρηκει D ‡ **11:7** ηγαγον **f**35 A,D [96.5%] HF,RP,CP,TR,OC ¦ αγουσιν אC,W [3%] ¦ φερουσιν B [0.5%] NU § **11:7** επεβαλον **f**35 A [96%] HF,RP,CP,TR,OC ¦ επιβαλλουσιν אB,C,D,W [4%] NU

αὐτῷ.* 8 Πολλοὶ δὲ† τὰ ἱμάτια αὐτῶν
ἔστρωσαν εἰς τὴν ὁδόν, ἄλλοι δὲ στοιβάδας‡
ἔκοπτον§ ἐκ τῶν δένδρων* καὶ ἐστρώννυον
εἰς τὴν ὁδόν.† 9 Καὶ οἱ προάγοντες καὶ
οἱ ἀκολουθοῦντες ἔκραζον, λέγοντες·‡
«Ὡσαννά.» «Εὐλογημένος ὁ ἐρχόμενος ἐν
ὀνόματι Κυρίου.» 10 «Εὐλογημένη ἡ ἐρχομένη
βασιλεία ἐν ὀνόματι Κυρίου§ τοῦ πατρὸς
ἡμῶν Δαυίδ.» «Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.»
11 Καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς,
καὶ* εἰς τὸ ἱερόν. Καὶ περιβλεψάμενος
πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν εἰς
Βηθανίαν μετὰ τῶν δώδεκα.

### *A barren fig tree*

12 Καὶ τῇ ἐπαύριον, ἐξελθόντων αὐτῶν ἀπὸ
Βηθανίας, ἐπείνασεν. 13 Καὶ ἰδὼν συκῆν†

---

* **11:7** αυτω **f**35 A,N,W [98%] HF,RP,CP,TR,OC ¦ αυτον ℵB,C,D [2%] NU † **11:8** πολλοι δε **f**35 A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ και 1 ℵB,C [1%] NU ‡ **11:8** στοιβαδας **f**35 A,C [70%] HF,RP,CP,TR,OC ¦ στιβαδας ℵB(D) [28%] NU ¦ στυβαδας N [1%] ¦ one other variant ¦ long omission W § **11:8** εκοπτον **f**35 A,C,D,N (97.4%) HF,RP,CP,TR,OC ¦ κοψαντες ℵB (0.5%) NU ¦ long omissions W (2.1%) * **11:8** δενδρων **f**35 A,D,N (97.2%) HF,RP,CP,TR,OC ¦ αγρων ℵB,C (0.6%) NU ¦ long omissions W (2.2%) † **11:8** και εστρωννυον εις την οδον **f**35 A(D) (79.8%) HF,RP,CP,TR,OC ¦ 12 εν τη 5 N (17.5%) ¦ — ℵB,C (0.6%) NU ¦ long omissions W (2.1%) ‡ **11:9** λεγοντες **f**35 A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ — ℵB,C [1%] NU § **11:10** εν ονοματι κυριου **f**35 A,N [95%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,D,W [5%] NU * **11:11** ο ιησους και **f**35 A,N [96%] HF,RP,TR,OC ¦ 12 [2%] CP ¦ — ℵB,C,W [1%] NU ¦ 3 D [1%] † **11:13** συκην **f**35 [86%] HF,RP,CP,TR ¦ 1 απο A,B,C,N(D,W) [10%] OC,NU ¦ 1 μιαν απο ℵ [2%] ¦ 1 μιαν [2%]

μακρόθεν ἔχουσαν φύλλα, ἦλθεν εἰ ἄρα
εὑρήσει τι‡ ἐν αὐτῇ. Καὶ ἐλθὼν ἐπ᾽ αὐτὴν
οὐδὲν εὗρεν εἰ μὴ φύλλα, οὐ γὰρ ἦν καιρὸς§
σύκων. 14 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς* εἶπεν
αὐτῇ, «Μηκέτι ἐκ σοῦ εἰς τὸν αἰῶνα† μηδεὶς
καρπὸν φάγῃ.»‡ Καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ.

*Jesus 'purifies' the temple (2nd time)—Monday, 04/01/30 AD*

15 Καὶ ἔρχονται§ εἰς Ἱεροσόλυμα,
καὶ εἰσελθὼν ὁ Ἰησοῦς* εἰς τὸ ἱερὸν
ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ†
ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας
τῶν κολλυβιστῶν καὶ τὰς καθέδρας τῶν
πωλούντων τὰς περιστερὰς κατέστρεψεν.
16 Καὶ οὐκ ἤφιεν ἵνα τις διενέγκῃ σκεῦος διὰ
τοῦ ἱεροῦ. 17 Καὶ ἐδίδασκεν λέγων‡ αὐτοῖς·
«Οὐ γέγραπται ὅτι ‹Ὁ οἶκός μου οἶκος προσευχῆς

---

‡ **11:13** ευρησει τι **f**[35] [90%] HF,RP,CP,TR ¦ 21 אA,B,C,N(W) [9%] OC,NU ¦ ευρησων 2 [0.5%] ¦ D is wild § **11:13** ου γαρ ην καιρος **f**[35] A [98%] HF,RP,CP,TR,OC ¦ 124 N ¦ ο 24 ουκ 3 אB,C [1%] NU ¦ 123 ο 4 D,W [0.5%] * **11:14** ο ιησους **f**[35] (W) [90%] HF,RP,CP,TR ¦ — אA,B,C,D,N [10%] OC,NU † **11:14** εκ σου εις τον αιωνα **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ 34512 אB,C(D)W [4%] NU ‡ **11:14** φαγη **f**[35] D,W [35%] CP ¦ φαγοι אA,B,C,N [65%] HF,RP,TR,OC,NU ¦ φαγει [0.5%] § **11:15** ερχονται *rell* ¦ 1 παλιν N [1%] OC * **11:15** ο ιησους **f**[35] A,N [96%] HF,RP,CP,TR,OC ¦ — אB,C(D)W [4%] NU † **11:15** και **f**[35] D [97%] HF,RP,CP,TR ¦ 1 τους אA,B,C,N [3%] OC,NU ¦ — W ‡ **11:17** λεγων **f**[35] A,D,N,W [98%] HF,RP,CP,TR,OC ¦ και ελεγεν אB,C [2%] NU

κληθήσεται πᾶσιν τοῖς ἔθνεσιν›; Ὑμεῖς δὲ
ἐποιήσατε αὐτὸν§ σπήλαιον λῃστῶν.»
18 Καὶ ἤκουσαν οἱ γραμματεῖς καὶ
οἱ ἀρχιερεῖς,* καὶ ἐζήτουν πῶς αὐτὸν
ἀπολέσουσιν·† ἐφοβοῦντο γὰρ αὐτόν, ὅτι πᾶς‡
ὁ ὄχλος ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.
19 Καὶ ὅτε§ ὀψὲ ἐγένετο, ἐξεπορεύετο* ἔξω τῆς
πόλεως.

## *How to drown a mountain*

20 Καὶ πρωῒ παραπορευόμενοι,† εἶδον
τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν. 21 Καὶ
ἀναμνησθεὶς ὁ Πέτρος λέγει αὐτῷ· «Ῥαββί,
ἴδε, ἡ συκῆ ἣν κατηράσω ἐξήρανται.» 22 Καὶ
ἀποκριθεὶς ὁ ‡ Ἰησοῦς λέγει αὐτοῖς· «Ἔχετε
πίστιν Θεοῦ. 23 Ἀμὴν γὰρ§ λέγω ὑμῖν ὅτι ὃς ἂν
εἴπῃ τῷ ὄρει τούτῳ, ‹Ἄρθητι καὶ βλήθητι εἰς τὴν
θάλασσαν,› καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ

---

§ **11:17** εποιησατε αυτον **f35** ℵC(D)N,W [94%] HF,RP,CP,TR ¦ 21 A [5%] OC ¦ πεποιηκατε 2 B [1%] NU * **11:18** γραμματεις και οι αρχιερεις **f35** N [94%] HF,RP,CP,TR ¦ 4231 ℵA,B,C,D,W [6%] NU ¦ 123 φαρισαιοι 234 OC ¦ one other variant [0.5%] † **11:18** απολεσουσιν **f35** [35%] TR ¦ απολεσωσιν ℵA,B,C,D,N,W [65%] HF,RP,CP,OC,NU ‡ **11:18** οτι πας **f35** A,D,N [97%] HF,RP,CP,TR,OC ¦ 2 γαρ ℵB,C,W [3%] NU § **11:19** οτε **f35** A,D,N [96%] HF,RP,CP,TR,OC ¦ οταν ℵB,C,W [4%] NU * **11:19** εξεπορευετο **f35** ℵC,D,N [97%] HF,RP,CP,TR,OC ¦ εξεπορευοντο A,B(W) [3%] NU † **11:20** πρωι παραπορευομενοι **f35** A,N [97%] HF,RP,CP,TR ¦ 21 B,C(D)W [3%] OC,NU ¦ παρεπορευετο 1 ℵ ‡ **11:22** ο *rell* ¦ — [5%] TR § **11:23** γαρ **f35** A,C,W [96%] HF,RP,CP,TR,OC ¦ —ℵB,D,N [4%] NU

ἀλλὰ πιστεύσῃ* ὅτι ἃ λέγει† γίνεται, ἔσται αὐτῷ
ὃ ἐὰν εἴπῃ.‡ 24 Διὰ τοῦτο λέγω ὑμῖν, πάντα
ὅσα ἂν§ προσευχόμενοι* αἰτῆσθε,† πιστεύετε
ὅτι λαμβάνετε,‡ καὶ ἔσται ὑμῖν.
25 »Καὶ ὅταν στήκητε§ προσευχόμενοι,
ἀφίετε, εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ ὁ
Πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἀφῇ ὑμῖν τὰ
παραπτώματα ὑμῶν. 26 Εἰ δὲ ὑμεῖς οὐκ ἀφίετε,
οὐδὲ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς* ἀφήσει
τὰ παραπτώματα ὑμῶν.»†

### *Jesus' authority questioned—Tuesday, 04/02/30 AD*

27 Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα. Καὶ
ἐν τῷ ἱερῷ περιπατοῦντος αὐτοῦ, ἔρχονται

---

* **11:23** πιστευση **f**35 A,C,D,N,W [93.4%] HF,RP,TR ¦ πιστευσει [5%] OC ¦ πιστευη ℵB (0.7%) NU ¦ πιστευει (0.7%) CP ¦ four other variants (0.2%) † **11:23** α λεγει **f**35 A,C,W (98%) HF,RP,CP,TR,OC ¦ ο 2 (0.2%) ¦ 1 λαλει (0.3%) ¦ 1 ειπη (0.1%) ¦ ο λαλει ℵB,N (1.1%) NU ¦ — D (0.3%) ‡ **11:23** ο εαν ειπη **f**35 A(D)N (98%) HF,RP,CP,TR,OC ¦ οσα 23 (0.6%) ¦ οτι 23 (0.2%) ¦ — ℵB,C,W (1.2%) NU § **11:24** αν **f**35 A [97%] HF,RP,CP,TR,OC ¦ εαν N [1.5%] ¦ — ℵB,C,D,W [1.5%] NU * **11:24** προσευχομενοι **f**35 A,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ προσευχεσθε και ℵB,C,D [1.5%] NU † **11:24** αιτησθε **f**35 [50%] HF,RP,CP ¦ αιτεισθε ℵA,B,C,D,N,W [48%] TR,OC,NU ¦ αιτησησθε [0.5%] ¦ αιτησητε [0.5%] ¦ three other readings ‡ **11:24** λαμβανετε **f**35 A,N (98.1%) HF,RP,CP,TR,OC ¦ ελαβετε ℵB,C,W (0.7%) NU ¦ ληψεσθε (0.5%) ¦ λημψεσθε D (0.2%) ¦ long omissions (0.5%) § **11:25** στηκητε **f**35 B,N,W [90%] HF,RP,CP,TR,OC ¦ στηκετε A,C,D [10%] NU ¦ στητε ℵ * **11:26** ο εν τοις ουρανοις *rell* ¦ — [1%] OC † **11:26** whole verse 26 **f**35 A(C)(D)(N) [96%] HF,RP,CP,TR,OC ¦ — ℵB,W [4%] NU (an easy case of homoioteleuton)

πρὸς αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς
καὶ οἱ πρεσβύτεροι. 28 Καὶ λέγουσιν‡ αὐτῷ,
«Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;» καὶ§ «Τίς
σοι τὴν ἐξουσίαν ταύτην ἔδωκεν* ἵνα ταῦτα
ποιῇς;» 29 Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς† εἶπεν
αὐτοῖς· «Ἐπερωτήσω ὑμᾶς καὶ ἐγὼ‡ ἕνα
λόγον· καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν
ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. 30 Τὸ βάπτισμα§
Ἰωάννου· ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων;»*
31 Καὶ ἐλογίζοντο† πρὸς ἑαυτούς, λέγοντες·
«Ἐὰν εἴπωμεν, ‹Ἐξ οὐρανοῦ,› ἐρεῖ, ‹Διὰ τί οὖν‡
οὐκ ἐπιστεύσατε αὐτῷ;› 32 Ἀλλ᾽§ εἴπωμεν, ‹Ἐξ
ἀνθρώπων› »—ἐφοβοῦντο τὸν λαόν,* ἅπαντες

‡ **11:28** λεγουσιν **f35** A,D,N [98%] HF,RP,CP,TR,OC ¦ ελεγον 𝔭45vאB,C,W [2%] NU § **11:28** και **f35** A,N,W [98%] HF,RP,CP,TR ¦ η אB [1.5%] OC,NU ¦ — C(D) [0.5%] * **11:28** την εξουσιαν ταυτην εδωκεν **f35** A,N [93%] HF,RP,CP,TR ¦ 123 δεδωκεν 𝔭45v [2%] ¦ 4123 אB,C [4%] OC,NU ¦ 4312 [1%] ¦ 3124 W ¦ — D † **11:29** αποκριθεις **f35** A,D,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ — אB,C [1.5%] NU ‡ **11:29** υμας και εγω **f35** [60%] HF,RP,CP ¦ 1 καγω אD,N,W [38%] TR,OC ¦ καγω 1 A [1%] ¦ 1 B,C [1%] NU § **11:30** βαπτισμα **f35** N,W [99%] HF,RP,CP,TR,OC ¦ 1 το אA,B,C,D [1%] NU * **11:30** ανθρωπων **f35** [20%] ¦ 1 αποκριθητε μοι 𝔭45אA,B,C,D,N,W [80%] HF,RP,CP,TR,OC,NU † **11:31** ελογιζοντο **f35** A(N) [94%] HF,RP,CP,TR,OC ¦ διελογιζοντο B,C,D,W [6%] NU ¦ προσελογιζοντο א ‡ **11:31** ουν **f35** אB,D,N [97%] HF,RP,CP,TR,OC[NU] ¦ — A,C,W [3%] § **11:32** αλλ **f35** N [80%] HF,RP,CP ¦ αλλα אA,B,C [1%] OC,NU ¦ 1 εαν W [18%] TR ¦ εαν D [1%] ¦ one other variant * **11:32** λαον **f35** A,D,W (95.1%) HF,RP,CP,TR,OC ¦ οχλον אB,C,N (4.6%) NU ¦ four other variants (0.2%)

γὰρ εἶχον τὸν Ἰωάννην ὅτι ὄντως† προφήτης
ἦν. 33 Καὶ ἀποκριθέντες λέγουσιν τῷ Ἰησοῦ,‡
«Οὐκ οἴδαμεν.» Καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς§
λέγει αὐτοῖς, «Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ
ἐξουσίᾳ ταῦτα ποιῶ.»

# 12

*Parable of wicked tenants*

1 Καὶ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λέγειν·*
«Ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος†—καὶ
περιέθηκεν φραγμὸν καὶ ὤρυξεν ὑπολήνιον
καὶ ᾠκοδόμησεν πύργον—καὶ ἐξέδοτο‡ αὐτὸν
γεωργοῖς καὶ ἀπεδήμησεν. 2 Καὶ ἀπέστειλεν
πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον, ἵνα
παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τοῦ καρποῦ§
τοῦ ἀμπελῶνος. 3 Οἱ δὲ* λαβόντες αὐτόν,
ἔδηραν† καὶ ἀπέστειλαν κενόν. 4 Καὶ πάλιν

---

† **11:32** οτι οντως **f**[35] A,W (93.8%) HF,RP,CP,TR ¦ 1 ℵ (3.2%) OC ¦ 21 B,C (0.9%) NU ¦ 2 (0.1%) ¦ ως N (1%) ¦ six combinations with ως (0.7%) ¦ 1 αληθως D ¦ — (0.1%) ‡ **11:33** λεγουσιν τω ιησου **f**[35] A,D [97%] HF,RP,CP,TR,OC ¦ 231 ℵB,C,N,W [3%] NU § **11:33** ο ιησους αποκριθεις **f**[35] W [94%] HF,RP,CP,TR,OC ¦ 312 A,D [4%] ¦ 12 ℵB,C,N [2%] NU * **12:1** λεγειν **f**[35] A,C,D(N) [96%] HF,RP,CP,TR,OC ¦ λαλειν ℵB,W [4%] NU ¦ one other variant † **12:1** εφυτευσεν ανθρωπος **f**[35] A,D [96%] HF,RP,CP,TR,OC ¦ 21 ℵB,C(N)(W) [4%] NU ‡ **12:1** εξεδοτο **f**[35] D,N,W [99%] HF,RP,CP,TR,OC ¦ εξεδετο ℵA,B,C [1%] NU § **12:2** του καρπου **f**[35] A,D,W [97.5%] HF,RP,CP,TR,OC ¦ των καρπων ℵB,C,N [2%] NU ¦ two other variants [0.5%] * **12:3** οι δε **f**[35] A,C,N,W [98%] HF,RP,CP,TR ¦ και ℵB,D [2%] OC,NU † **12:3** εδηραν **f**[35] [30%] ¦ εδειραν ℵA,B,C,D(W) [70%] HF,RP,CP,TR,OC,NU ¦ εδιραν N

ἀπέστειλεν πρὸς αὐτοὺς ἄλλον δοῦλον,
κἀκεῖνον λιθοβολήσαντες‡ ἐκεφαλαίωσαν,§
καὶ ἀπέστειλαν ἠτιμωμένον.* 5 Καὶ πάλιν†
ἄλλον ἀπέστειλεν, κἀκεῖνον ἀπέκτειναν·
καὶ πολλοὺς ἄλλους, τοὺς‡ μὲν δαίροντες,§
τοὺς* δὲ ἀποκτένοντες.† 6 Ἔτι οὖν‡ ἕνα
υἱὸν ἔχων,§ ἀγαπητὸν αὐτοῦ,* ἀπέστειλεν
καὶ† αὐτὸν πρὸς αὐτοὺς ἔσχατον,‡ λέγων ὅτι
‹Ἐντραπήσονται τὸν υἱόν μου.› 7 Ἐκεῖνοι δὲ

---

‡ **12:4** λιθοβολησαντες **f**$^{35}$ A,C,N [96%] HF,RP,CP,TR,OC ¦ λιθοβολισαντες [1%] ¦ — ℵB,D,W [3%] NU § **12:4** εκεφαλαιωσαν **f**$^{35}$ A,C,D,N [98.5%] HF,RP,CP,TR,OC ¦ εκεφαλιωσαν ℵB [0.5%] NU ¦ κεφαλαιωσαντες (W) [1%] * **12:4** απεστειλαν ητιμωμενον **f**$^{35}$ A,C,N [98%] HF,RP,CP,TR,OC ¦ ητιμασαν ℵB,D [1%] NU ¦ 1 ητιμασμενον W [1%] † **12:5** παλιν **f**$^{35}$ A,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,D [1.5%] NU ‡ **12:5** τους **f**$^{35}$ A,C,N,W [97%] HF,RP,CP,TR ¦ ους ℵB,D [3%] OC,NU § **12:5** δαιροντες **f**$^{35}$ [30%] CP ¦ δεροντες ℵA,B,C,D,N,W [70%] HF,RP,TR,OC,NU * **12:5** τους **f**$^{35}$ A,C,N,W [97%] HF,RP,CP,TR ¦ ους ℵB [3%] OC,NU ¦ αλλους D † **12:5** αποκτενοντες **f**$^{35}$ N [80%] HF,RP,CP ¦ αποκτεννοντες ℵA,C,D [15%] OC,NU ¦ αποκτεινοντες [4%] TR ¦ αποκτεννυντες B ¦ αποκτινοντες W ¦ four other spellings ‡ **12:6** ετι ουν **f**$^{35}$ A,C,D,N [97%] HF,RP,CP,TR,OC ¦ 1 ℵB [1.5%] NU ¦ υστερον δε W [1.5%] § **12:6** υιον εχων **f**$^{35}$ N [97%] HF,RP,CP,TR,OC ¦ 21 A,C,D [1%] ¦ ειχεν 1 ℵB [1%] NU ¦ 12 τον [1%] ¦ αυτον 2 τον W * **12:6** αυτου **f**$^{35}$ 𝔓$^{45v}$A,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,D [1.5%] NU † **12:6** και **f**$^{35}$ A,C,N [98%] HF,RP,CP,TR,OC ¦ — ℵB(D)W [2%] NU ‡ **12:6** προς αυτους εσχατον **f**$^{35}$ A,N,W (89.3%) HF,RP,CP,TR ¦ 12 (1.6%) ¦ 312 ℵB,C (8.5%) OC,NU ¦ 1 αυτον 3 (0.4%) ¦ 3 D (0.2%) ¦ one other variant

οἱ γεωργοὶ§ εἶπον πρὸς ἑαυτοὺς* ὅτι ‹Οὗτός
ἐστιν ὁ κληρονόμος. Δεῦτε, ἀποκτείνωμεν
αὐτόν, καὶ ἡμῶν ἔσται ἡ κληρονομία.› 8 Καὶ
λαβόντες αὐτὸν ἀπέκτειναν,† καὶ ἐξέβαλον‡
ἔξω τοῦ ἀμπελῶνος.
9 »Τί οὖν§ ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος;
Ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργούς,*
καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. 10 Οὐδὲ
τὴν Γραφὴν ταύτην ἀνέγνωτε· ‹Λίθον ὃν
ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη
εἰς κεφαλὴν γωνίας· 11 παρὰ Κυρίου ἐγένετο
αὕτη, καὶ ἔστιν θαυμαστὴ ἐν ὀφθαλμοῖς
ἡμῶν›;» 12 Καὶ ἐζήτουν αὐτὸν κρατῆσαι, καὶ
ἐφοβήθησαν τὸν ὄχλον, ἔγνωσαν γὰρ ὅτι πρὸς
αὐτοὺς τὴν παραβολὴν εἶπεν. Καὶ ἀφέντες
αὐτὸν ἀπῆλθον.

### *Render to Caesar*

13 Καὶ ἀποστέλλουσιν πρὸς αὐτόν τινας
τῶν Φαρισαίων καὶ τῶν† Ἡρῳδιανῶν, ἵνα
αὐτὸν ἀγρεύσωσιν λόγῳ. 14 Οἱ δὲ‡ ἐλθόντες
λέγουσιν αὐτῷ· «Διδάσκαλε, οἴδαμεν ὅτι

---

§ **12:7** γεωργοι *rell* ¦ 1 θεασαμενοι αυτον ερχομενον [2%] OC * **12:7** ειπον προς εαυτους **f**$^{35}$ A,N [96%] HF,RP(CP)TR ¦ 231 [1%] OC ¦ 23 ειπαν ℵB,C,W [1%] NU ¦ 1 [1%] ¦ ειπαν 23 D † **12:8** αυτον απεκτειναν **f**$^{35}$ A,D,N,W [98%] HF,RP,CP,TR ¦ 21 ℵB,C [1%] OC,NU ¦ a different transposition [1%] ‡ **12:8** εξεβαλον **f**$^{35}$ ℵW [95%] HF,RP,CP,TR ¦ 1 αυτον A,B,C,D,N [5%] OC,NU § **12:9** ουν **f**$^{35}$ ℵA,C,D,N,W [99.5%] HF,RP,CP,TR,OC[NU] ¦ — B [0.5%] * **12:9** γεωργους *rell* ¦ 1 τουτους [1%] OC † **12:13** των *rell* ¦ — CP ‡ **12:14** οι δε **f**$^{35}$ A,N,W (98.8%) HF,RP,CP,TR,OC ¦ και ℵB,C(D) (1.1%) NU ¦ — (0.1%)

ἀληθὴς εἶ—καὶ οὐ μέλει σοι περὶ οὐδενός, οὐ
γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλʼ
ἐπʼ ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις§—
ἔξεστιν κῆνσον Καίσαρι δοῦναι,* ἢ οὔ; 15 Δῶμεν,
ἢ μὴ δῶμεν;» Ὁ δὲ εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν,
εἶπεν αὐτοῖς· «Τί με πειράζετε; Φέρετέ μοι
δηνάριον ἵνα ἴδω.» 16 Οἱ δὲ ἤνεγκαν, καὶ
λέγει αὐτοῖς, «Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ
ἐπιγραφή;» Οἱ δὲ εἶπον† αὐτῷ,‡ «Καίσαρος.»
17 Καὶ ἀποκριθεὶς ὁ § Ἰησοῦς εἶπεν αὐτοῖς,
«Ἀπόδοτε τὰ Καίσαρος* Καίσαρι, καὶ τὰ τοῦ
Θεοῦ τῷ Θεῷ.» Καὶ ἐθαύμασαν† ἐπʼ αὐτῷ.

### *A hypothetical situation*

18 Καὶ ἔρχονται Σαδδουκαῖοι πρὸς αὐτόν—
οἵτινες λέγουσιν ἀνάστασιν μὴ εἶναι —καὶ
ἐπηρώτησαν‡ αὐτόν, λέγοντες· 19 «Διδάσκαλε,
Μωσῆς§ ἔγραψεν ἡμῖν ὅτι ἐάν τινος ἀδελφὸς

§ **12:14** διδασκεις *rell* ¦ 1 ειπον ουν ημιν (C,D)N,W [3%] OC
* **12:14** κηνσον καισαρι δουναι **f**35 A,N (91.3%) HF,RP,CP,TR ¦ 312 אB,C (4.8%) OC,NU ¦ 132 (1.6%) ¦ 213 (1.3%) ¦ 231 (0.2%) ¦ 3 επικεφαλαιον 2 D (0.3%) ¦ omit one of the three W (0.4%)
† **12:16** ειπον 𝔓45 *rell* ¦ ειπαν אB,C(D)W [1%] NU ¦ λεγουσιν A [0.5%] ‡ **12:16** αυτω *rell* ¦ — 𝔓45vW [2%] OC § **12:17** και αποκριθεις ο **f**35 A,N [98.5%] HF,RP,CP,TR,OC ¦ 3 δε אB,C [1%] NU ¦ 2 δε 3 D [0.5%] ¦ 12 W * **12:17** αποδοτε τα καισαρος **f**35 A(D)N [98.5%] HF,RP,CP,TR,OC ¦ 231 אB,C,W [1.5%] NU † **12:17** εθαυμασαν **f**35 A,C,N,W [99%] HF,RP,CP,TR,OC ¦ εξεθαυμαζον אB [0.5%] NU ¦ εθαυμαζον [0.5%] ¦ εθαυμαζοντο D ‡ **12:18** επηρωτησαν **f**35 A,N,W [98%] HF,RP,CP,TR ¦ επηρωτων אB,D [2%] OC,NU ¦ επηρωτουν C § **12:19** μωσης **f**35 A,C [90%] HF,RP,CP,TR ¦ μωυσης אB,D,N,W [10%] OC,NU

ἀποθάνῃ καὶ καταλίπῃ γυναῖκα καὶ τέκνα μὴ
ἀφῇ,* ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα
αὐτοῦ† καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ
αὐτοῦ. 20 Ἑπτὰ‡ ἀδελφοὶ ἦσαν. Καὶ ὁ πρῶτος
ἔλαβεν γυναῖκα, καὶ ἀποθνῄσκων οὐκ ἀφῆκεν
σπέρμα. 21 Καὶ ὁ δεύτερος ἔλαβεν αὐτήν, καὶ
ἀπέθανεν· καὶ οὐδὲ αὐτὸς ἀφῆκεν§ σπέρμα.
Καὶ ὁ τρίτος ὡσαύτως. 22 Καὶ ἔλαβον αὐτὴν
οἱ ἑπτά, καὶ* οὐκ ἀφῆκαν σπέρμα. Ἐσχάτη†
πάντων ἀπέθανεν καὶ ἡ γυνή.‡ 23 Ἐν τῇ§
ἀναστάσει, ὅταν ἀναστῶσιν,* τίνος αὐτῶν
ἔσται γυνή;—οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα.»
24 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς·†
«Οὐ διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰς

---

* **12:19** τεκνα μη αφη **f**$^{35}$ A,D [98%] HF,RP,CP,TR,OC ¦ 231 ℵC [0.5%] ¦ τεκνον 23 W [1%] ¦ 23 τεκνον B [0.5%] NU (N vacant)
† **12:19** αυτου **f**$^{35}$ A,D [97%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,W [3%] NU
‡ **12:20** επτα *rell* ¦ 1 ουν (D) [5%] OC, some TRs
§ **12:21** και ουδε αυτος αφηκεν **f**$^{35}$ A,W (94.1%) HF,RP,CP,TR ¦ 123 ουκ 4 D,OC ¦ 12 ουτος 4 (2.6%) ¦ μη καταλιπων ℵB,C (0.8%) NU ¦ 1 ουκ 4 (0.6%) ¦ long omissions (1.9%) (OC has small print)
* **12:22** και (−κ. D) ελαβον αυτην (+ωσαυτως και A 1%) οι επτα και **f**$^{35}$ (A)(D) [98%] HF,RP,CP,TR,OC ¦ 145 ℵB,C [1%] NU ¦ 456 W ¦ 1456 [1%]
† **12:22** εσχατη **f**$^{35}$ A [90%] HF,RP,CP,TR,OC ¦ εσχατον ℵB,C,W [10%] NU ¦ — D
‡ **12:22** απεθανεν και η γυνη **f**$^{35}$ A [95%] HF,RP,CP,TR,OC ¦ 2341 ℵB,C,D(W) [5%] NU
§ **12:23** τη **f**$^{35}$ ℵB,C (62.4%) HF,RP,CP,NU ¦ 1 ουν A (33.6%) TR,OC ¦ ουν D,W (2.9%) ¦ γουν (0.3%) ¦ long omission (0.7%)
* **12:23** οταν αναστωσιν **f**$^{35}$ A (97.2%) HF,RP,CP,TR,OC[NU] ¦ — ℵB,C,D,W (2.1%) ¦ long omission (0.7%)
† **12:24** και αποκριθεις ο ιησους ειπεν αυτοις **f**$^{35}$ A [96%] HF,RP,CP,TR,OC ¦ 2 δε 3456 D,W [3%] ¦ εφη 634 ℵB,C [1%] NU

Γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ; 25 Ὅταν
γὰρ ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦσιν
οὔτε γαμίσκονται,‡ ἀλλ᾽ εἰσὶν ὡς ἄγγελοι§
ἐν τοῖς οὐρανοῖς. 26 Περὶ δὲ τῶν νεκρῶν,
ὅτι ἐγείρονται, οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ
Μωϋσέος,* ἐπὶ τοῦ† βάτου, ὡς‡ εἶπεν αὐτῷ ὁ
Θεός, λέγων, ‹Ἐγὼ ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ § Θεὸς
Ἰσαάκ, καὶ ὁ * Θεὸς Ἰακώβ›; 27 Οὐκ ἔστιν ὁ †
Θεὸς νεκρῶν, ἀλλὰ Θεὸς‡ ζώντων. Ὑμεῖς οὖν§
πολὺ* πλανᾶσθε.»

*The greatest commandment*

28 Καὶ προσελθὼν εἷς τῶν γραμματέων,
ἀκούσας αὐτῶν συζητούντων, εἰδὼς† ὅτι

---

‡ **12:25** γαμισκονται **f35** W [94%] HF,RP,TR ¦ εκγαμισκονται A [2%] CP ¦ γαμιζονται אB,C [3%] OC,NU ¦ γαμιζουσιν D ¦ two other variants § **12:25** αγγελοι **f35** אC,D [60%] NU ¦ 1 οι אcA [35%] HF,RP,CP,TR,OC ¦ οι 1 W (0.2%) ¦ οι 1 οι B (1%) ¦ 1 θεου (3.1%) ¦ 1 θεου οι (0.6%) ¦ two other variants (0.2%) (OC is in small print) * **12:26** μωυσεος **f35** [20%] ¦ μωυσεως אB,D,W [30%] OC,NU ¦ μωσεως A,C [50%] HF,RP,CP,TR † **12:26** του **f35** אA,B,C [70%] HF,RP,CP,OC,NU ¦ της D,W [30%] TR ‡ **12:26** ως **f35** A,D,W [97%] HF,RP,CP,TR ¦ πως אB,C [2%] OC,NU ¦ — [1%] § **12:26** ο **f35** אA,C [99.5%] HF,RP,CP,TR,OC[NU] ¦ — B,D,W [0.5%] * **12:26** ο **f35** 𝔓45אA,C [99.5%] HF,RP,CP,TR,OC[NU] ¦ — B,D,W [0.5%] † **12:27** ο **f35** אA,C [97%] HF,RP,CP,TR,OC ¦ — B,D,W [3%] NU ‡ **12:27** νεκρων αλλα θεος **f35** [75%] HF,RP,TR ¦ 12 אA,B,C,D,W [25%] OC,NU ¦ 312 CP § **12:27** υμεις ουν **f35** A,D (98%) HF,RP,CP,TR,OC ¦ 1 δε (1%) ¦ 1 (0.2%) ¦ — אB,C,W (0.8%) NU * **12:27** πολυ **f35** אA,B,C,D,W (89.6%) HF,RP,CP,TR,OC,NU ¦ πολλοι (6.7%) ¦ πολλα (0.8%) ¦ — (2.9%) † **12:28** ειδως **f35** A,B [96%] HF,RP,CP,TR ¦ ιδων אC,W [4%] OC,NU ¦ και ειδων D

καλῶς αὐτοῖς ἀπεκρίθη,‡ ἐπηρώτησεν αὐτόν,
«Ποία ἐστὶν πρώτη πασῶν ἐντολή;»§ 29 Ὁ δὲ
Ἰησοῦς ἀπεκρίθη αὐτῷ* ὅτι «Πρώτη πασῶν
τῶν ἐντολῶν·† ‹Ἄκουε, Ἰσραήλ, Κύριος ὁ Θεὸς
ὑμῶν,‡ Κύριος εἷς ἐστιν· 30 καὶ ἀγαπήσεις
Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου
καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς
διανοίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου.›
Αὕτη πρώτη ἐντολή.§ 31 Καὶ* δευτέρα ὁμοία†
αὕτη·‡ ‹Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.›§
Μείζων τούτων ἄλλη ἐντολὴ οὐκ ἔστιν.»
32 Καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς· «Καλῶς,
διδάσκαλε· ἐπ᾽ ἀληθείας εἶπας ὅτι εἷς ἐστιν,*
καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. 33 Καὶ τὸ

---

‡ **12:28** αυτοις απεκριθη **f35** A,D [95%] HF,RP,TR,OC ¦ 21 אB,C,W [4%] NU ¦ 2 [1%] CP § **12:28** πρωτη πασων εντολη **f35** [25%] CP,TR ¦ 1 παντων 3 A [70%] HF,RP,OC ¦ 31 παντων אB,C [2%] NU ¦ 13 W [2%] ¦ 31 D [0.5%] * **12:29** ο δε ιησους απεκριθη αυτω **f35** A,C [97%] HF,RP,CP,TR,OC ¦ 123 ειπεν 5 [1%] ¦ 12 ειπεν 5 W [1%] ¦ 413 אB [1%] NU ¦ αποκριθεις 213 ειπεν 5 D † **12:29** πασων των εντολων **f35** [25%] CP,TR ¦ παντων 23 [50%] HF,RP ¦ παντων 3 [2%] ¦ παντων εντολη A [20%] OC ¦ παντων (D,W) [1.5%] ¦ εστιν אB [1%] NU ¦ παντων εντολη εστιν αυτη C ‡ **12:29** υμων **f35** [25%] ¦ ημων אA,B,C,D,W [74%] HF,RP,CP,TR,OC,NU ¦ σου [1%] § **12:30** αυτη πρωτη εντολη **f35** A,D (85.3%) HF,RP,CP,TR,OC ¦ 1 εστιν 23 (0.4%) ¦ 12 παντων 3 (12.3%) ¦ 12 πασων 3 (0.4%) ¦ 12 W (0.2%) ¦ — אB (1.1%) NU ¦ long omissions (0.3%) * **12:31** και *rell* ¦ δε D [1%] ¦ — אB [1%] NU † **12:31** ομοια **f35** A,D(W) [99.5%] HF,RP,CP,TR,OC ¦ — (א)B [0.5%] NU ‡ **12:31** αὐτη **f35** RP,CP,TR,OC,NU ¦ αὑτη HF § **12:31** σεαυτον *rell* ¦ εαυτον [25%] OC * **12:32** εστιν **f35** אA,B [95%] HF,RP,CP,OC,NU ¦ 1 θεος (W) [2%] TR ¦ 1 ο θεος D [3%]

ἀγαπᾶν αὐτὸν ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ
ὅλης τῆς συνέσεως καὶ ἐξ ὅλης τῆς ψυχῆς†
καὶ ἐξ ὅλης τῆς ἰσχύος, καὶ τὸ ἀγαπᾶν τὸν
πλησίον ὡς ἑαυτόν, πλεῖόν‡ ἐστιν πάντων
τῶν ὁλοκαυτωμάτων καὶ§ θυσιῶν.» 34 Καὶ ὁ
Ἰησοῦς, ἰδὼν αὐτὸν* ὅτι νουνεχῶς ἀπεκρίθη,
εἶπεν αὐτῷ, «Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας
τοῦ Θεοῦ.» Καὶ οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν
ἐπερωτῆσαι.

### *Is the Christ David's son?*

35 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ἔλεγεν,
διδάσκων ἐν τῷ ἱερῷ· «Πῶς λέγουσιν οἱ
γραμματεῖς ὅτι ὁ Χριστὸς υἱός ἐστιν Δαυίδ;†
36 Αὐτὸς γὰρ‡ Δαυὶδ εἶπεν ἐν§ Πνεύματι*
Ἁγίῳ· ‹Λέγει† ὁ ‡ Κύριος τῷ Κυρίῳ μου, «Κάθου
ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου
ὑποπόδιον§ τῶν ποδῶν σου.»› 37 Αὐτὸς οὖν*

---

† **12:33** και εξ ολης της ψυχης **f**35 A(D) [98%] HF,RP,CP,TR,OC ¦ — אB,W [2%] NU ‡ **12:33** πλειον **f**35 A,D,W [99%] HF,RP,CP,TR,OC ¦ περισσοτερον אB [1%] NU § **12:33** και **f**35 A,B,D,W [90%] HF,RP,CP,OC,NU ¦ 1 των א [10%] TR * **12:34** αυτον **f**35 A,B [97%] HF,RP,CP,TR[NU] ¦ — אD,W [3%] OC † **12:35** εστιν δαυιδ **f**35 A,W [95%] HF,RP,CP,TR ¦ 21 אB,D [5%] OC,NU ‡ **12:36** γαρ **f**35 A [99%] HF,RP,CP,TR,OC ¦ — אB,W [1%] NU ¦ και (D) § **12:36** εν **f**35 A,W [90%] HF,RP,CP,OC ¦ 1 τω אD [10%] TR,NU ¦ τω B * **12:36** πνευματι **f**35 A,W [90%] HF,RP,CP,OC ¦ 1 τω אB,D [10%] TR,NU † **12:36** λεγει **f**35 A,D [80%] HF,RP,CP,OC ¦ ειπεν אB,W [20%] TR,NU ‡ **12:36** ο **f**35 אA,W [99.5%] HF,RP,CP,TR,OC ¦ — B,D [0.5%] NU § **12:36** υποποδιον **f**35 אA [99.5%] HF,RP,CP,TR,OC ¦ υποκατω B,D,W [0.5%] NU * **12:37** ουν **f**35 A [98%] HF,RP,CP,TR,OC ¦ — אB,D,W [2%] NU

Δαυὶδ λέγει αὐτὸν ‹Κύριον›· καὶ πόθεν υἱὸς αὐτοῦ ἐστιν;»† Καὶ ὁ ‡ πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως.

### *Down with hypocrisy!*

38 Καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ·§
«Βλέπετε ἀπὸ τῶν γραμματέων, τῶν θελόντων
ἐν στολαῖς περιπατεῖν καὶ ἀσπασμοὺς ἐν
ταῖς ἀγοραῖς, 39 καὶ πρωτοκαθεδρίας ἐν
ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας* ἐν τοῖς
δείπνοις· 40 οἱ κατεσθίοντες τὰς οἰκίας τῶν
χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι.
Οὗτοι λήψονται† περισσότερον κρῖμα.»

### *A widow's offering*

41 Καὶ καθίσας ὁ Ἰησοῦς‡ κατέναντι§ τοῦ
γαζοφυλακίου ἐθεώρει πῶς ὁ ὄχλος βάλλει
χαλκὸν εἰς τὸ γαζοφυλάκιον. Καὶ πολλοὶ
πλούσιοι ἔβαλον* πολλά. 42 Καὶ ἐλθοῦσα
μία χήρα πτωχὴ ἔβαλεν λεπτὰ δύο, ὅ ἐστιν
κοδράντης. 43 Καὶ προσκαλεσάμενος τοὺς

---

† **12:37** υιος αυτου εστιν **f**[35] אA,W [99%] HF,RP,CP,TR,OC ¦ 231 B [0.5%] NU ¦ 312 D ¦ two other variants ‡ **12:37** ο **f**[35] A,B [99%] HF,RP,TR,OC[NU] ¦ — אD,W [1%] CP § **12:38** ελεγεν αυτοις εν τη διδαχη αυτου **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ 13456 W [1%] ¦ 345612 [0.5%] ¦ 34561 אB [1%] NU ¦ διδασκων 12 (D) [0.5%] * **12:39** πρωτοκλισιας *rell* ¦ πρωτοκλησιας A [10%] CP † **12:40** λημψονται *rell* ¦ λημψονται אA,D,W [1%] NU ‡ **12:41** ο ιησους **f**[35] A(D)W [99%] HF,RP,CP,TR,OC ¦ — אB [1%] NU § **12:41** κατεναντι *rell* ¦ απεναντι B (10.9%) ¦ κατενωπιον (0.3%) * **12:41** εβαλον **f**[35] [35%] CP ¦ εβαλλον A,B(D)W [65%] HF,RP,TR,OC,NU ¦ εξεβαλλον א

μαθητὰς αὐτοῦ λέγει† αὐτοῖς· «Ἀμὴν λέγω
ὑμῖν ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ‡ πλεῖον
πάντων βέβληκεν§ τῶν βαλλόντων* εἰς
τὸ γαζοφυλάκιον· 44 πάντες γὰρ ἐκ τοῦ
περισσεύοντος αὐτοῖς ἔβαλον, αὕτη δέ, ἐκ τῆς
ὑστερήσεως αὐτῆς, πάντα ὅσα εἶχεν ἔβαλεν,
ὅλον τὸν βίον αὐτῆς.»

# 13

*The temple will be destroyed*

1 Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ,
λέγει αὐτῷ εἷς* τῶν μαθητῶν αὐτοῦ·
«Διδάσκαλε, ἴδε, ποταποὶ λίθοι καὶ ποταπαὶ
οἰκοδομαί.» 2 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς†
εἶπεν αὐτῷ· «Βλέπεις ταύτας τὰς μεγάλας
οἰκοδομάς; Οὐ μὴ ἀφεθῇ ὧδε‡ λίθος ἐπὶ λίθῳ,§
ὃς οὐ μὴ καταλυθῇ.»

*The Olivet Discourse*

*The end of the age*

---

† **12:43** λεγει **f**$^{35}$ W [85%] HF,RP,TR ¦ ειπεν ℵA,B,D [15%] CP,OC,NU ‡ **12:43** αυτη η πτωχη *rell* ¦ 231 D [1%] OC § **12:43** βεβληκεν **f**$^{35}$ (89.7%) HF,RP,CP,TR ¦ εβαλεν A,B,D (10.3%) OC,NU ¦ εβαλλεν ℵ * **12:43** βαλλοντων **f**$^{35}$ ℵA,B,D [60%] HF,RP,CP,OC,NU ¦ βαλοντων [39%] TR ¦ — W [1%] * **13:1** εις *rell* ¦ 1 εκ A,D [5%] CP † **13:2** αποκριθεις ο ιησους **f**$^{35}$ A(D) [30%] CP ¦ 231 [68%] HF,RP,TR,OC ¦ 23 ℵB [1%] NU ¦ 1 W [0.5%] ‡ **13:2** ωδε **f**$^{35}$ ℵB,D,W (21.1%) OC,NU ¦ — A (78.9%) HF,RP,CP,TR § **13:2** λιθω **f**$^{35}$ A,D [90%] HF,RP,CP,TR ¦ λιθον ℵB,W [10%] OC,NU

3 Καὶ καθημένου αὐτοῦ εἰς τὸ Ὄρος τῶν
Ἐλαιῶν κατέναντι τοῦ ἱεροῦ, ἐπηρώτων*
αὐτὸν κατ᾽ ἰδίαν Πέτρος καὶ Ἰάκωβος καὶ
Ἰωάννης καὶ Ἀνδρέας· 4 «Εἰπὲ† ἡμῖν, πότε
ταῦτα ἔσται; Καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ
πάντα ταῦτα συντελεῖσθαι;»‡ 5 Ὁ δὲ Ἰησοῦς
ἀποκριθεὶς§ αὐτοῖς ἤρξατο λέγειν·* «Βλέπετε
μή τις ὑμᾶς πλανήσῃ. 6 Πολλοὶ γὰρ†
ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες ὅτι
‹Ἐγώ εἰμι,› καὶ πολλοὺς πλανήσουσιν. 7 Ὅταν
δὲ ἀκούσητε πολέμους καὶ ἀκοὰς πολέμων,
μὴ θροεῖσθε· δεῖ γὰρ‡ γενέσθαι, ἀλλ᾽ οὔπω τὸ
τέλος. 8 Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ§ ἔθνος,
καὶ βασιλεία ἐπὶ βασιλείαν· καὶ* ἔσονται
σεισμοὶ κατὰ τόπους, καὶ† ἔσονται λιμοὶ καὶ

---

* **13:3** επηρωτων **f**$^{35}$ D [96%] HF,RP,CP,TR,OC ¦ επερωτων A [2%] ¦ επηρωτα אB,W [2%] NU † **13:4** ειπε **f**$^{35}$ A [96%] HF,RP,CP,TR,OC ¦ ειπον אB,D,W [4%] NU ‡ **13:4** παντα ταυτα συντελεισθαι **f**$^{35}$ D [88%] HF,RP,TR,OC ¦ 213 A [10%] CP ¦ 231 אB [0.5%] NU ¦ 23 W [1%] § **13:5** αποκριθεις **f**$^{35}$ A(D,W) [99%] HF,RP,CP,TR,OC ¦ — אB [1%] NU * **13:5** αυτοις ηρξατο λεγειν **f**$^{35}$ A(W) [95%] HF,RP,CP,TR ¦ 231 אB [2%] OC,NU ¦ 213 [1%] ¦ 23 [1%] ¦ ειπεν 1 D [1%] † **13:6** γαρ **f**$^{35}$ A,D [99.5%] HF,RP,CP,TR,OC ¦ — אB,W [0.5%] NU ‡ **13:7** γαρ **f**$^{35}$ A,D [99.5%] HF,RP,CP,TR,OC ¦ — אB,W [0.5%] NU § **13:8** επι **f**$^{35}$ A,D,W [95%] HF,RP,CP,TR,OC ¦ επ אB [5%] NU ¦ two other variants * **13:8** και **f**$^{35}$ A [99%] HF,RP,CP,TR,OC ¦ — אB,D,W [1%] NU † **13:8** και **f**$^{35}$ A(D) [99%] HF,RP,CP,TR,OC ¦ — B(W) [1%] NU ¦ א omits five words [homoioteleuton]

ταραχαί.‡ Ἀρχαὶ§ ὠδίνων ταῦτα.
9 »Βλέπετε δὲ ὑμεῖς ἑαυτούς, παραδώσουσιν γὰρ* ὑμᾶς εἰς συνέδρια καὶ εἰς συναγωγὰς† δαρήσεσθε, καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων ἀχθήσεσθε‡ ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς.
10 Καί, εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον§ κηρυχθῆναι τὸ εὐαγγέλιον.
11 Ὅταν δὲ* ἄγωσιν† ὑμᾶς παραδιδόντες, μὴ προμεριμνᾶτε‡ τί λαλήσετε§ μηδὲ μελετᾶτε.* Ἀλλ᾽ ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε, οὐ γάρ ἐστε ὑμεῖς† οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τὸ Ἅγιον.
12 »Παραδώσει δὲ‡ ἀδελφὸς ἀδελφὸν

---

‡ **13:8** λιμοι και ταραχαι **f**[35] (96.8%) HF,RP,CP,TR,OC ¦ λοιμοι 23 (1.5%) ¦ 12 λοιμοι (0.4%) ¦ 12 λοιμοι 23 (0.5%) ¦ 12 W (0.1%) ¦ 321 (0.1%) ¦ 1 καταραχαι A ¦ 1 B(D) (0.5%) NU ¦ three other variants (0.2%) ¦ long omission א § **13:8** αρχαι **f**[35] A [90%] HF,RP,CP,TR,OC ¦ αρχη אB,D [10%] NU ¦ — W * **13:9** γαρ **f**[35] אA [98.5%] HF,RP,CP,TR,OC ¦ — B [0.5%] NU ¦ και W [0.5%] ¦ ειτα D [0.5%] † **13:9** εις συναγωγας *rell* ¦ εν ταις συναγωγαις αυτων OC ‡ **13:9** αχθησεσθε **f**[35] [30%] some TRs ¦ σταθησεσθε אA,B,D,W [70%] HF,RP,CP,TR,OC,NU § **13:10** δει πρωτον **f**[35] A [98.5%] HF,RP,CP,TR,OC ¦ 21 B,D [1%] NU ¦ προς τον λαον 1 א ¦ 2 δε 1 W [0.5%] * **13:11** οταν δε **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ και 1 אB,D [1%] NU † **13:11** αγωσιν **f**[35] אA,B,D,W [35%] NU ¦ αγαγωσιν [65%] HF,RP,CP,TR,OC ‡ **13:11** προμεριμνατε **f**[35] אA,B,D,W [70%] HF,RP,CP,TR,OC,NU ¦ μεριμνατε [29%] ¦ three other variants [1%] § **13:11** λαλησετε **f**[35] [35%] ¦ λαλησητε אA,B,D,W [65%] HF,RP,CP,TR,OC,NU * **13:11** μηδε μελετατε **f**[35] A [97%] HF,RP,CP,TR,OC ¦ — אB,D,W [3%] NU † **13:11** εστε υμεις *rell* ¦ 21 [2%] OC ‡ **13:12** παραδωσει δε **f**[35] A,W [99%] HF,RP,CP,TR,OC ¦ και 1 אB,D [0.5%] NU ¦ 1 [0.5%]

εἰς θάνατον καὶ πατὴρ τέκνον, καὶ
ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ
θανατώσουσιν αὐτούς. 13 Καὶ ἔσεσθε
μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου·
ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

### *The Great Tribulation*

14 »Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς
ἐρημώσεως, τὸ ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ
προφήτου,§ ἑστὼς* ὅπου οὐ δεῖ»—ὁ
ἀναγινώσκων νοείτω—«τότε οἱ ἐν τῇ Ἰουδαίᾳ
φευγέτωσαν εἰς τὰ ὄρη. 15 Ὁ δὲ† ἐπὶ τοῦ
δώματος μὴ καταβάτω εἰς τὴν οἰκίαν,‡ μηδὲ
εἰσελθέτω§ ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ. 16 Καὶ
ὁ εἰς τὸν ἀγρὸν ὢν* μὴ ἐπιστρεψάτω εἰς τὰ
ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ. 17 Οὐαὶ δὲ ταῖς
ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν
ἐκείναις ταῖς ἡμέραις. 18 Προσεύχεσθε δὲ ἵνα
μὴ γένηται ἡ φυγὴ ὑμῶν† χειμῶνος· 19 ἔσονται
γὰρ αἱ ἡμέραι ἐκεῖναι θλῖψις οἵα οὐ γέγονεν

§ **13:14** το ρηθεν υπο δανιηλ του προφητου **f**35 A [98%] HF,RP,CP,TR,OC ¦ 12 δια 456 [1%] ¦ — אB,D,W [1%] NU * **13:14** εστως **f**35 [80%] HF,RP,OC ¦ εστος A [17.5%] CP,TR ¦ εστηκοτα אB [0.5%] NU ¦ εστηκος D [0.5%] ¦ στηκον W [1.5%] † **13:15** δε **f**35 אA,W [99%] HF,RP,CP,TR,OC[NU] ¦ — B [0.5%] ¦ και D [0.5%] ‡ **13:15** εις την οικιαν **f**35 A,D,W (96.3%) HF,RP,CP,TR,OC ¦ επι 23 (0.2%) ¦ 13 (0.4%) ¦ 123 αυτου (0.6%) ¦ — אB (2.6%) NU § **13:15** εισελθετω *rell* ¦ εισελθατω אA,D [1.5%] NU * **13:16** ων **f**35 A,W [97%] HF,RP,CP,TR,OC ¦ — אB,D [3%] NU † **13:18** η φυγη υμων **f**35 A [99%] HF,RP,CP,TR,OC ¦ — אB(D)W [0.5%] NU ¦ ταυτη [0.5%]

τοιαύτη ἀπ᾽ ἀρχῆς κτίσεως ἧς‡ ἔκτισεν ὁ
Θεὸς ἕως τοῦ νῦν, καὶ οὐ μὴ γένηται. 20 Καὶ
εἰ μὴ Κύριος ἐκολόβωσεν§ τὰς ἡμέρας, οὐκ ἂν
ἐσώθη πᾶσα σάρξ· ἀλλὰ διὰ τοὺς ἐκλεκτούς,
οὓς ἐξελέξατο, ἐκολόβωσεν τὰς ἡμέρας.
21 »Τότε* ἐάν τις ὑμῖν εἴπῃ, ‹Ἰδού,† ὧδε
ὁ Χριστός,›‡ ‹Ἰδού,§ ἐκεῖ,› μὴ πιστεύσητε.*
22 Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ
ψευδοπροφῆται, καὶ δώσουσιν σημεῖα καὶ
τέρατα πρὸς τὸ ἀποπλανᾶν, εἰ δυνατόν, καὶ†
τοὺς ἐκλεκτούς. 23 Ὑμεῖς δὲ βλέπετε· ἰδού,‡
προείρηκα ὑμῖν πάντα.§

### *The return of Christ*

24 »Ἀλλ᾽* ἐν ἐκείναις ταῖς ἡμέραις, μετὰ
τὴν θλῖψιν ἐκείνην, ‹ὁ ἥλιος σκοτισθήσεται,
καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς·
25 καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔσονται

---

‡ **13:19** ης **f**$^{35}$ A,W [98.5%] HF,RP,CP,TR,OC ¦ ην אB,C [1%] NU ¦ — D [0.5%] § **13:20** κυριος εκολοβωσεν **f**$^{35}$ A,C,D [98%] HF,RP,CP,TR ¦ 21 אB [0.5%] OC,NU ¦ 2 W [0.5%] ¦ ο θεος 2 [1%] * **13:21** τοτε **f**$^{35}$ [30%] RP ¦ και 1 אA,B,C,D,W [70%] HF,CP,TR,OC,NU † **13:21** ιδου **f**$^{35}$ A,C,D,W [99.5%] HF,RP,CP,TR,OC ¦ ιδε (א)B [0.5%] NU ‡ **13:21** χριστος **f**$^{35}$ א(W) [40%] OC,NU ¦ 1 η A,C,D [60%] HF,RP,CP,TR ¦ 1 και B § **13:21** ιδου **f**$^{35}$ A(W) [99%] HF,RP,CP,TR,OC ¦ ιδε (א)B(D) [1%] NU ¦ — C * **13:21** πιστευσητε **f**$^{35}$ [90%] TR ¦ πιστευετε אA,B,C,D,W [10%] HF,RP,CP,OC,NU † **13:22** και **f**$^{35}$ A,C,W [99.5%] HF,RP,CP,TR,OC ¦ — אB,D [0.5%] NU ‡ **13:23** ιδου **f**$^{35}$ אA,C,D [99.5%] HF,RP,CP,TR,OC ¦ — B,W [0.5%] NU § **13:23** παντα *rell* ¦ απαντα A [5%] OC * **13:24** αλλ *rell* ¦ αλλα אB,C,D,W [1%] NU

ἐκπίπτοντες,† καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς
οὐρανοῖς σαλευθήσονται.› 26 Καὶ τότε
ὄψονται τὸν Υἱὸν τοῦ Ἀνθρώπου ἐρχόμενον ἐν
νεφέλαις μετὰ δυνάμεως πολλῆς καὶ δόξης.
27 Καὶ τότε ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ‡
καὶ ἐπισυνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ§ ἐκ
τῶν τεσσάρων ἀνέμων, ἀπ᾽ ἄκρου* γῆς ἕως
ἄκρου† οὐρανοῦ.

### *Parable of the fig tree*

28 »Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν·
ὅταν ἤδη ὁ κλάδος αὐτῆς‡ ἁπαλὸς γένηται§
καὶ ἐκφύῃ τὰ φύλλα, γινώσκεται* ὅτι ἐγγὺς
τὸ θέρος ἐστίν. 29 Οὕτως καὶ ὑμεῖς, ὅταν
ταῦτα ἴδητε† γινόμενα, γινώσκετε ὅτι ἐγγύς
ἐστιν—ἐπὶ θύραις. 30 Ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ
παρέλθῃ ἡ γενεὰ αὕτη μέχρις οὗ πάντα ταῦτα‡

---

† **13:25** του ουρανου εσονται εκπιπτοντες **f**35 [97%] HF,RP,CP,TR ¦ εκ 1234 [1%] ¦ εκ 123 πειπτοντες D ¦ 3 εκ 124 A [0.5%] ¦ 3 εκ 12 πιπτοντες אB,C [1%] OC,NU ¦ three other variations W [0.5%] ‡ **13:27** αυτου **f**35 אA,C [99.5%] HF,RP,CP,TR,OC ¦ — B,D,W [0.5%] NU § **13:27** αυτου **f**35 אA,B,C [98%] HF,RP,CP,TR,OC[NU] ¦ — D,W [2%] * **13:27** ακρου *rell* ¦ 1 της W [5%] OC † **13:27** ακρου *rell* ¦ 1 του [5%] OC ‡ **13:28** ηδη ο κλαδος αυτης **f**35 אA,B,C,D (29%) (CP)NU ¦ 4123 (50.2%) HF,RP,TR ¦ 4231 (5%) OC ¦ 1423 (2.7%) ¦ 2341 (1.2%) ¦ 423 W (8.4%) ¦ 234 (2.6%) ¦ 123 (0.6%) ¦ four other variants (0.2%) § **13:28** απαλος γενηται *rell* ¦ 21 [2%] OC * **13:28** γινωσκεται **f**35 (D)W [25%] ¦ γινωσκετε א(A,B)C [75%] HF,RP,CP,TR,OC,NU † **13:29** ταυτα ιδητε **f**35 (W) [95%] HF,RP,CP,TR ¦ 21 אA,B(C)(D) [5%] OC,NU ‡ **13:30** παντα ταυτα **f**35 A,D,W [95%] HF,RP,CP,TR,OC ¦ 21 אB,C [5%] NU

γένηται. 31 Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται,§ οἱ δὲ λόγοι μου* οὐ μὴ παρέλθωσιν.†

*Watch!*

32 »Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ ‡ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι οἱ§ ἐν τῷ* οὐρανῷ, οὐδὲ ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ. 33 Βλέπετε, ἀγρυπνεῖτε, προσεύχεσθε.† Οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν. 34 Ὡς ἄνθρωπος ἀπόδημος, ἀφεὶς τὴν οἰκίαν αὐτοῦ καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν, καὶ‡ ἑκάστῳ τὸ ἔργον αὐτοῦ· καὶ τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ. 35 Γρηγορεῖτε οὖν, οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται§—ὀψὲ ἢ μεσονυκτίου* ἢ ἀλεκτοροφωνίας ἢ πρωΐ— 36 μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς καθεύδοντας. 37 Ἃ† δὲ ὑμῖν λέγω, πᾶσιν λέγω· Γρηγορεῖτε.»

---

§ **13:31** παρελευσεται **f**$^{35}$ A,C,W [60%] HF,RP ¦ παρελευσονται ℵB,D [40%] CP,TR,OC,NU * **13:31** λογοι μου *rell* ¦ εμοι 1 OC † **13:31** παρελθωσιν **f**$^{35}$ A,C(D)W [99.5%] HF,RP,CP,TR ¦ παρελευσονται ℵ(B) [0.5%] OC,NU ‡ **13:32** η **f**$^{35}$ A [75%] HF,RP,CP ¦ 1 της B,C [15%] OC,NU ¦ και της ℵD,W [8%] TR ¦ και [2%] § **13:32** οι αγγελοι οι **f**$^{35}$ A,C,W [95%] HF,RP,CP,TR ¦ 12 ℵD [5%] OC,NU ¦ αγγελος B * **13:32** τω **f**$^{35}$ D [55%] CP ¦ — ℵA,B,C [40%] HF,RP,TR,OC,NU ¦ των [5%] † **13:33** προσευχεσθε **f**$^{35}$ [20%] ¦ και 1 ℵ [77%] HF,RP,CP,TR,OC ¦ και προσευχεσθαι A,C,W (2.3%) ¦ προσευχεσθαι (0.2%) ¦ — B,D (0.6%) NU ‡ **13:34** και **f**$^{35}$ A,W [99%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,D [1%] NU § **13:35** ερχεται **f**$^{35}$ A,D,W [99%] HF,RP,CP,TR,OC ¦ 1 η ℵB,C [1%] NU * **13:35** μεσονυκτιου **f**$^{35}$ A,D [98%] HF,RP,CP,TR,OC ¦ μεσονυκτιον ℵC [1%] NU ¦ μεσανυκτιον B,W ¦ μεσονυκτιω [0.5%] † **13:37** α **f**$^{35}$ A,W [96.5%] HF,RP,CP,TR,OC ¦ ο ℵB,C [3%] NU ¦ εγω D [0.5%]

# 14

### *The Sanhedrin make plans*

1 Ἦν δὲ τὸ Πάσχα καὶ τὰ Ἄζυμα μετὰ δύο
ἡμέρας. Καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ
γραμματεῖς πῶς αὐτὸν ἐν δόλῳ κρατήσαντες
ἀποκτείνωσιν. 2 Ἔλεγον δέ,* «Μὴ ἐν τῇ ἑορτῇ,
μήποτε θόρυβος ἔσται† τοῦ λαοῦ.»

### *An anointing in Simon's house*

3 Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν τῇ οἰκίᾳ
Σίμωνος τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ,
ἦλθεν γυνὴ ἔχουσα ἀλάβαστρον μύρου νάρδου
πιστικῆς πολυτελοῦς. Καὶ‡ συντρίψασα
τὸ§ ἀλάβαστρον, κατέχεεν αὐτοῦ κατὰ* τῆς
κεφαλῆς. 4 Ἦσαν δέ τινες ἀγανακτοῦντες
πρὸς ἑαυτοὺς καὶ λέγοντες·† «Εἰς τί ἡ
ἀπώλεια αὕτη τοῦ μύρου γέγονεν; 5 Ἠδύνατο
γὰρ τοῦτο‡ πραθῆναι ἐπάνω τριακοσίων
δηναρίων§ καὶ δοθῆναι τοῖς πτωχοῖς.» Καὶ
ἐνεβριμῶντο αὐτῇ. 6 Ὁ δὲ Ἰησοῦς εἶπεν· «Ἄφετε

---

* **14:2** δε **f35** A,W [99%] HF,RP,CP,TR,OC ¦ γαρ ℵB,C(D) [1%] NU † **14:2** θορυβος εσται **f35** A,W [97%] HF,RP,CP,TR,OC ¦ 21 ℵB,C,D [1%] NU ¦ 1 γενηται [2%] ¦ one other variant ‡ **14:3** και **f35** A,C(D)W [99.5%] HF,RP,CP,TR,OC ¦ — ℵB [0.5%] NU § **14:3** το **f35** W [75%] HF,RP,CP,TR,OC ¦ τον ℵA,D [24%] ¦ την B,C [1%] NU * **14:3** κατα **f35** A [98.5%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,W [1.5%] NU ¦ επι D † **14:4** και λεγοντες **f35** A,W [98.5%] HF,RP,CP,TR ¦ 2 [0.5%] OC ¦ — (ℵ)B,C [1%] NU ¦ 1 ελεγον D ‡ **14:5** τουτο **f35** [93%] HF,RP,CP,TR ¦ 1 το μυρον A,B,C [5%] OC,NU ¦ το μυρον 1 (D) [1.5%] ¦ το μυρον ℵ(W) § **14:5** τριακοσιων δηναριων **f35** A,B [99%] HF,RP,CP,TR,OC ¦ 21 ℵC,D,W [1%] NU

αὐτήν· τί αὐτῇ κόπους παρέχετε; Καλὸν
ἔργον εἰργάσατο* ἐν ἐμοί.† 7 Πάντοτε γὰρ
τοὺς πτωχοὺς ἔχετε μεθ᾽ ἑαυτῶν, καὶ ὅταν
θέλητε δύνασθε αὐτοὺς‡ εὖ ποιῆσαι· ἐμὲ δὲ οὐ
πάντοτε ἔχετε. 8 Ὃ ἔσχεν§ αὕτη* ἐποίησεν.
Προέλαβεν μυρίσαι μου τὸ σῶμα† εἰς τὸν
ἐνταφιασμόν. 9 Ἀμὴν‡ λέγω ὑμῖν, ὅπου ἐὰν§
κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο* εἰς ὅλον τὸν
κόσμον, καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται εἰς
μνημόσυνον αὐτῆς.»

### *Judas is hired*

10 Καὶ† Ἰούδας ὁ Ἰσκαριώτης,‡ εἷς τῶν
δώδεκα, ἀπῆλθεν πρὸς τοὺς ἀρχιερεῖς ἵνα
παραδῷ αὐτὸν§ αὐτοῖς. 11 Οἱ δὲ ἀκούσαντες
ἐχάρησαν καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύρια*

---

* **14:6** ειργασατο **f**35 A,C [99%] HF,RP,CP,TR,OC ¦ ηργασατο ℵB,D,W [1%] NU † **14:6** εν εμοι *rell* ¦ εις εμε [5%] TR ‡ **14:7** αυτους **f**35 A [96%] HF,RP,CP,TR,OC ¦ αυτοις B,C,D,W [4%] NU ¦ — ℵ § **14:8** εσχεν *rell* ¦ ειχεν W [10%] TR * **14:8** αυτη **f**35 A,D [97%] HF,RP,CP,TR,OC ¦ αιτη C ¦ — ℵB,W [3%] NU † **14:8** μου το σωμα **f**35 A,C,W [97%] HF,RP,CP,TR,OC ¦ 231 ℵB,D [3%] NU ‡ **14:9** αμην **f**35 A,C,W [70%] RP,TR,OC ¦ 1 δε ℵB,D [30%] HF,CP,NU ¦ 1 γαρ [0.5%] § **14:9** εαν *rell* ¦ αν D,W [10%] TR * **14:9** τουτο **f**35 A,C [98%] HF,RP,CP,TR,OC ¦ — ℵB,D,W [2%] NU † **14:10** και **f**35 ℵA,B,C,D [50%] OC,NU ¦ 1 ο W [50%] HF,RP,CP,TR ‡ **14:10** ο ισκαριωτης **f**35 A,W [98%] HF,RP,CP,TR,OC ¦ ισκαριωθ 1 B,C [0.5%] NU ¦ 2 (D) [1%] ¦ ισκαριωθ ℵ ¦ at least three further variants § **14:10** παραδω αυτον **f**35 A [97%] HF,RP,CP,TR,OC ¦ 21 ℵ [2%] ¦ 2 παραδοι B,C,NU ¦ παραδοι 2 (D)W [0.5%] * **14:11** αργυρια **f**35 A [40%] OC ¦ αργυριον ℵB,C,D,W [60%] HF,RP,CP,TR,NU

δοῦναι. Καὶ ἐζήτει πῶς εὐκαίρως αὐτὸν†
παραδῷ.‡

*The upper room is made ready*

12 Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε
τὸ Πάσχα ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ
αὐτοῦ, «Ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσομεν,§
ἵνα φάγῃς τὸ Πάσχα;» 13 Καὶ ἀποστέλλει
δύο τῶν μαθητῶν αὐτοῦ καὶ λέγει αὐτοῖς·
«Ὑπάγετε εἰς τὴν πόλιν, καὶ ἀπαντήσει
ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων·
ἀκολουθήσατε αὐτῷ. 14 Καὶ ὅπου ἐὰν εἰσέλθῃ,
εἴπατε τῷ οἰκοδεσπότῃ ὅτι ‹Ὁ διδάσκαλος λέγει,
«Ποῦ ἐστιν τὸ κατάλυμα* ὅπου τὸ Πάσχα μετὰ
τῶν μαθητῶν μου φάγω;»› 15 Καὶ αὐτὸς ὑμῖν
δείξει ἀνώγεων† μέγα ἐστρωμένον ἕτοιμον·
ἐκεῖ‡ ἑτοιμάσατε ἡμῖν.» 16 Καὶ ἐξῆλθον οἱ
μαθηταὶ αὐτοῦ§ καὶ ἦλθον εἰς τὴν πόλιν καὶ
εὗρον καθὼς εἶπεν αὐτοῖς· καὶ ἡτοίμασαν τὸ
Πάσχα.

---

† **14:11** ευκαιρως αυτον **f**35 D [98%] HF,RP,CP,TR,OC ¦ 21 ℵA,B,C,W [2%] NU ‡ **14:11** παραδω **f**35 ℵA [99.5%] HF,RP,CP,TR,OC ¦ παραδοι B,C,D,W [0.5%] NU § **14:12** ετοιμασομεν **f**35 [65%] HF,CP ¦ ετοιμασωμεν ℵA,B,C,D,W [35%] RP,TR,OC,NU * **14:14** καταλυμα **f**35 A [97%] HF,RP,CP,TR ¦ 1 μου ℵB,C,D,W [3%] OC,NU † **14:15** ανωγεων **f**35 [30%] ¦ ανωγεον [39%] HF,RP,TR ¦ ανωγαιον [25%] CP,OC ¦ αναγαιον ℵA,B,C(D) [5%] NU ¦ αναγιον W ¦ at least three other variants ‡ **14:15** εκει **f**35 A,W [99%] HF,RP,CP,TR,OC ¦ και 1 B,C [1%] NU ¦ κακει ℵD § **14:16** αυτου **f**35 A,C,D,W [98%] HF,RP,CP,TR,OC ¦ — ℵB [2%] NU

# The last night—begins Thursday evening, 04/04/30 AD, and ends the next morning

17 Καὶ ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα.

*The traitor identified*

18 Καὶ ἀνακειμένων αὐτῶν καὶ ἐσθιόντων,
εἶπεν ὁ Ἰησοῦς,* «Ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ
ὑμῶν παραδώσει με, ὁ ἐσθίων μετʼ ἐμοῦ.»
19 Οἱ δὲ† ἤρξαντο λυπεῖσθαι καὶ λέγειν αὐτῷ
εἷς καθʼ εἷς,‡ «Μήτι ἐγώ;» Καὶ ἄλλος, «Μήτι
ἐγώ;»§ 20 Ὁ δὲ ἀποκριθεὶς* εἶπεν αὐτοῖς· «Εἷς
ἐκ† τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετʼ ἐμοῦ
εἰς τὸ τρυβλίον.‡ 21 Ὁ μὲν Υἱὸς τοῦ Ἀνθρώπου
ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ, οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ διʼ οὗ ὁ Υἱὸς τοῦ Ἀνθρώπου παραδίδοται· καλὸν ἦν§ αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.»

---

* **14:18** ειπεν ο ιησους **f**35 A,W [99%] HF,RP,CP,TR,OC ¦ 231 ℵB,C [0.5%] NU ¦ λεγει 23 D [0.5%] † **14:19** οι δε **f**35 A,D,W [99%] HF,RP,CP,TR,OC ¦ — ℵB [0.5%] NU ¦ και C ‡ **14:19** καθ εις **f**35 A,D,W [99%] HF,RP,CP,TR,OC ¦ κατα 1 ℵB [1%] NU ¦ εκαστος C § **14:19** και αλλος μητι εγω **f**35 D (88.1%) HF,RP,CP,TR,OC ¦ ειμι 1234 (2%) ¦ ειμι κυριε 1234 (A) (0.6%) ¦ ειμι 1234 ειμι (0.4%) ¦ 34 (0.3%) ¦ — ℵB,C,W (8.3%) NU ¦ six other variants (0.4%) * **14:20** αποκριθεις **f**35 A,W [99%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,D [1%] NU † **14:20** εκ **f**35 A,D [98.5%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,W [1.5%] NU ‡ **14:20** τρυβλιον **f**35 A,C,D,W [99%] HF,RP,CP,TR,OC ¦ 1 οτι ℵB [0.5%] NU ¦ 1 και [0.5%] § **14:21** ην **f**35 ℵA,C,D [99.5%] HF,RP,CP,TR,OC ¦ — B,W [0.5%] NU

## *Jesus institutes the Lord's Supper*

22 Καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ὁ Ἰησοῦς*
ἄρτον καὶ† εὐλογήσας, ἔκλασεν καὶ ἔδωκεν
αὐτοῖς καὶ εἶπεν, «Λάβετε, φάγετε·‡ τοῦτό
ἐστιν τὸ σῶμά μου.» 23 Καὶ λαβὼν τὸ§
ποτήριον, εὐχαριστήσας ἔδωκεν αὐτοῖς, καὶ
ἔπιον ἐξ αὐτοῦ πάντες. 24 Καὶ εἶπεν αὐτοῖς·
«Τοῦτό ἐστιν τὸ αἷμά μου, τὸ τῆς καινῆς*
διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον.†
25 Ἀμὴν‡ λέγω ὑμῖν ὅτι οὐκέτι οὐ μὴ πίω ἐκ
τοῦ γενήματος§ τῆς ἀμπέλου ἕως τῆς ἡμέρας
ἐκείνης ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ
τοῦ Θεοῦ.» 26 Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ
Ὄρος τῶν Ἐλαιῶν.

## *Peter will deny Him*

27 Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς ὅτι «Πάντες
σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ,*

---

* **14:22** ο ιησους **f**35 ℵA,C [99.5%] HF,RP,CP,TR,OC ¦ — B,D,W [0.5%] NU † **14:22** και **f**35 [25%] CP ¦ — ℵA,B,C,D,W [75%] HF,RP,TR,OC,NU ‡ **14:22** φαγετε **f**35 [95%] HF,RP,CP,TR,OC ¦ — ℵA,B,C,D,W [5%] NU (OC is in small print) § **14:23** το **f**35 A,W [93%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,D [7%] NU (OC is in small print) * **14:24** το της καινης **f**35 A (85.5%) HF,RP,CP,TR,OC ¦ 23 (13.7%) ¦ 2 ℵB,C (0.4%) NU ¦ 12 D,W (0.2%) ¦ one other variant † **14:24** περι πολλων εκχυνομενον **f**35 [96%] HF,RP,CP,TR,OC ¦ 12 εκχυννομενον A [1%] ¦ υπερ 2 εκχυννομενον (D)W [0.5%] ¦ υπερ 23 [1%] ¦ εκχυννομενον υπερ 2 ℵB,C [1%] NU ‡ **14:25** αμην *rell* ¦ 1 δε [30%] § **14:25** γενηματος **f**35 ℵA,B,C,W [75%] HF,RP,CP,OC,NU ¦ γεννηματος D,NV [25%] TR * **14:27** εν εμοι εν τη νυκτι ταυτη **f**35 A,N,W [70%] HF,RP,CP,TR,OC ¦ 12 [0.5%] ¦ 3456 [0.5%] ¦ — ℵB,C,D [29%] NU

ὅτι γέγραπται· ‹Πατάξω τὸν Ποιμένα, καὶ
διασκορπισθήσεται τὰ πρόβατα.›† 28 Μετὰ
δὲ‡ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς§ εἰς τὴν
Γαλιλαίαν.» 29 Ὁ δὲ Πέτρος ἔφη αὐτῷ, «Καὶ
εἰ* πάντες σκανδαλισθήσονται, ἀλλ᾽† οὐκ
ἐγώ.» 30 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, «Ἀμὴν λέγω
σοι, ὅτι σύ,‡ σήμερον, ἐν τῇ νυκτὶ ταύτῃ,§
πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ
με.»* 31 Ὁ δὲ† ἐκ περισσοῦ‡ ἔλεγεν§ μᾶλλον,*
«Ἐάν με δέῃ† συναποθανεῖν σοι, οὐ μή σε
ἀπαρνήσωμαι.»‡ Ὡσαύτως δὲ καὶ πάντες
ἔλεγον.

### *The agony in Gethsemane*

---

† **14:27** διασκορπισθησεται τα προβατα **f**[35] [95%] HF,RP,CP,TR ¦ διασκορπισθησονται 23 A,N [3%] OC ¦ 23 διασκορπισθησονται אB,C,D [1%] NU ¦ 231 (W) [1%] ‡ **14:28** μετα δε **f**[35] [20%] ¦ αλλα 1 אA,B,D,N,W [79%] HF,RP,CP,TR,OC,NU ¦ και 1 C ¦ αλλα και 1 [1%] § **14:28** υμας *rell* ¦ υμων CP * **14:29** και ει **f**[35] A,N [94%] HF,RP,CP,TR,OC ¦ 21 אB,C,W [5%] NU ¦ 2 εαν D ¦ καν [0.5%] † **14:29** αλλ *rell* ¦ εν σοι 1 [3%] CP ‡ **14:30** συ **f**[35] A,B,N,W [90%] HF,RP,CP,OC,NU ¦ — אC,D [10%] TR § **14:30** εν τη νυκτι ταυτη **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ 423 אB,C,D [1.5%] NU ¦ 234 W [1.5%] * **14:30** απαρνηση με **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ 21 B,C,D [2%] NU ¦ 2 απαρνησει א ¦ 2 αρνηση W ¦ 1 [0.5%] † **14:31** δε *rell* ¦ 1 πετρος A,C,N(W) [5%] OC ‡ **14:31** εκ περισσου **f**[35] A,N [98%] HF,RP,CP,TR,OC ¦ εκπερισσως אB,C,D [1%] NU ¦ περισσως W [1%] § **14:31** ελεγεν **f**[35] A,C,N,W [99%] HF,RP,CP,TR,OC ¦ ελαλει אB,D [1%] NU * **14:31** μαλλον **f**[35] A,N(W) [98%] HF,RP,CP,TR,OC ¦ — אB,C,D [2%] NU † **14:31** με δεη **f**[35] C,D,W [95%] HF,RP,CP,TR,OC ¦ 1 η א ¦ 21 A,B,N [5%] NU ‡ **14:31** απαρνησωμαι **f**[35] (א) [80%] HF,RP,CP ¦ απαρνησομαι A,B,C,D,N,W [20%] TR,OC,NU

32 Καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα
Γεθσημανῆ·§ καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ,
«Καθίσατε ὧδε ἕως προσεύξομαι.»* 33 Καὶ
παραλαμβάνει τὸν Πέτρον καὶ† Ἰάκωβον
καὶ‡ Ἰωάννην μεθ᾽ ἑαυτοῦ,§ καὶ ἤρξατο
ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν. 34 Καὶ λέγει*
αὐτοῖς· «Περίλυπός ἐστιν ἡ ψυχή μου, ἕως
θανάτου. Μείνατε ὧδε καὶ γρηγορεῖτε.»†
35 Καὶ προελθὼν‡ μικρόν, ἔπεσεν§ ἐπὶ
τῆς γῆς καὶ προσηύχετο ἵνα, εἰ δυνατόν
ἐστιν, παρέλθῃ ἀπ᾽ αὐτοῦ ἡ ὥρα. 36 Καὶ
ἔλεγεν· «Ἀββᾶ, ὁ Πατήρ, πάντα δυνατά σοι.
Παρένεγκαι* τὸ ποτήριον ἀπ᾽ ἐμοῦ τοῦτο·†
ἀλλ᾽ οὐ τί ἐγὼ θέλω, ἀλλὰ‡ τί σύ.» 37 Καὶ
ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας,

---

§ **14:32** γεθσημανη **f**$^{35}$ [88%] HF,RP,CP,TR,OC ¦ γεθσημανει ℵA,C [5%] ¦ γεσσημανει N [5%] ¦ γεθσημανι [2%] NU ¦ γετσημανει B ¦ γησαμανει D ¦ γεσσημανιν W ¦ at least six further spellings * **14:32** προσευξομαι **f**$^{35}$ D [35%] CP ¦ προσευξωμαι ℵA,B,C,W [65%] HF,RP,TR,OC,NU ¦ προσευχωμαι N † **14:33** και **f**$^{35}$ ℵC,D,N [85%] HF,RP,CP,OC ¦ 1 τον A,B,W [15%] TR[NU] ‡ **14:33** και **f**$^{35}$ ℵC,D,N [96%] HF,RP,CP,TR,OC ¦ 1 τον A,B,W [4%] [NU] § **14:33** μεθ εαυτου **f**$^{35}$ A,N [97%] HF,RP,CP,TR,OC ¦ μετ αυτου ℵB,C,D,W [3%] NU * **14:34** λεγει *rell* ¦ λεγειν [1%] OC † **14:34** γρηγορειτε *rell* ¦ 1 μετ εμου [2%] CP ‡ **14:35** προελθων **f**$^{35}$ ℵB,N,W [50%] CP,TR,OC,NU ¦ προσελθων A,C,D [50%] HF,RP § **14:35** επεσεν **f**$^{35}$ A,C,D,N,W [99.5%] HF,RP,CP,TR ¦ επιπτεν ℵB [0.5%] NU ¦ 1 επι προσωπον OC * **14:36** παρενεγκαι **f**$^{35}$ ℵA,C [30%] ¦ παρενεγκε B,D,N,W [70%] HF,RP,CP,TR,OC,NU ¦ παρενεγκειν [0.5%] † **14:36** το ποτηριον απ εμου τουτο **f**$^{35}$ [92%] HF,RP,CP,TR,OC ¦ 12534 ℵA,B,C,W [5%] NU ¦ 34125 [2%] ¦ 51234 D,N [1%] ‡ **14:36** αλλα *rell* ¦ αλλ ει C [2%] OC

καὶ λέγει τῷ Πέτρῳ· «Σίμων, καθεύδεις;
Οὐκ ἴσχυσας§ μίαν ὥραν γρηγορῆσαι;
38 Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ
εἰσέλθητε* εἰς πειρασμόν. Τὸ μὲν πνεῦμα
πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.» 39 Καὶ πάλιν
ἀπελθὼν προσηύξατο, τὸν αὐτὸν λόγον
εἰπών. 40 Καὶ ὑποστρέψας εὗρεν αὐτοὺς
πάλιν† καθεύδοντας, ἦσαν γὰρ οἱ ὀφθαλμοὶ
αὐτῶν‡ καταβαρυνόμενοι·§ καὶ οὐκ ᾔδεισαν
τί αὐτῷ ἀποκριθῶσιν.* 41 Καὶ ἔρχεται τὸ
τρίτον καὶ λέγει αὐτοῖς· «Καθεύδετε† λοιπὸν
καὶ ἀναπαύεσθε. Ἀπέχει· ἦλθεν ἡ ὥρα·
ἰδού, παραδίδοται ὁ Υἱὸς τοῦ Ἀνθρώπου εἰς
τὰς χεῖρας τῶν ἁμαρτωλῶν. 42 Ἐγείρεσθε,
ἄγωμεν. Ἰδού, ὁ παραδιδούς με ἤγγικεν.»

### *The betrayal and arrest*

43 Καὶ εὐθέως,‡ ἔτι αὐτοῦ λαλοῦντος,

---

§ **14:37** ισχυσας *rell* ¦ ισχυσατε D [2%] OC * **14:38** εισελθητε **f35** A,C,D,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ ελθητε אB [0.5%] NU † **14:40** υποστρεψας ευρεν αυτους παλιν **f35** A,C(N)W (94.9%) HF,RP,CP,TR,OC ¦ 1423 (2%) ¦ 1243 (0.4%) ¦ 123 (1.3%) ¦ 1 ευρισκει 3 (0.6%) ¦ 4 ελθων 23 אB (0.5%) NU ¦ ελθων ευρισκει 3 (D) (0.2%) ¦ one other variant ‡ **14:40** οι οφθαλμοι αυτων **f35** A,D,N,W [97%] HF,RP,CP,TR,OC ¦ 312 אB,C [3%] NU § **14:40** καταβαρυνομενοι **f35** A,B,N [35%] OC,NU ¦ καταβαρουμενοι D,W [0.5%] ¦ βαρυνομενοι [0.5%] ¦ καταβεβαρημενοι א ¦ βεβαρημενοι C [64%] HF,RP,CP,TR * **14:40** αυτω αποκριθωσιν **f35** N,W [96%] HF,RP,CP,TR ¦ 21 אA,B,C,D [3%] OC,NU ¦ 2 [1%] † **14:41** καθευδετε **f35** A,C,D,W [75%] HF,RP,OC ¦ 1 το אB,N [25%] CP,TR,NU ‡ **14:43** ευθεως **f35** A,N [97%] HF,RP,CP,TR,OC ¦ ευθυς אB,C [1%] NU ¦ — D,W [2%]

παραγίνεται Ἰούδας,§ εἷς ὢν* τῶν δώδεκα,
καὶ μετ᾽ αὐτοῦ ὄχλος πολὺς† μετὰ μαχαιρῶν
καὶ ξύλων,‡ παρὰ τῶν ἀρχιερέων καὶ
τῶν§ γραμματέων καὶ τῶν πρεσβυτέρων.
44 Δεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν σύσσημον
αὐτοῖς, λέγων, «Ὃν ἂν φιλήσω, αὐτός ἐστιν·
κρατήσατε αὐτὸν καὶ ἀπαγάγετε* ἀσφαλῶς.»
45 Καὶ ἐλθών, εὐθέως† προσελθὼν αὐτῷ λέγει
αὐτῷ, «Ῥαββί, ῥαββί»·‡ καὶ κατεφίλησεν
αὐτόν. 46 Οἱ δὲ ἐπέβαλον ἐπ᾽ αὐτὸν τὰς
χεῖρας αὐτῶν§ καὶ ἐκράτησαν αὐτόν. 47 Εἷς
δέ τις* τῶν παρεστηκότων σπασάμενος
τὴν μάχαιραν ἔπαισεν τὸν δοῦλον τοῦ
ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον.†
48 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς·

---

§ **14:43** ιουδας *rell* ¦ 1 ο ισκαριωτης A(D) [5%] OC * **14:43** ων **f**$^{35}$ [90%] HF,RP,CP,TR ¦ — ℵA,B,C,D,N,W [10%] OC,NU ¦ εκ [0.5%] † **14:43** πολυς **f**$^{35}$ A,C,D,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ — ℵB [1.5%] NU ‡ **14:43** ξυλων *rell* ¦ 1 απεσταλμενοι [1%] OC § **14:43** των *rell* ¦ — A,C,N,W [8%] OC * **14:44** απαγαγετε **f**$^{35}$ A,C(N) [98%] HF,RP,CP,TR,OC ¦ αγαγετε W [1%] ¦ απαγετε ℵB(D) [1%] NU † **14:45** ευθεως **f**$^{35}$ A,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C [1%] NU ¦ — D [0.5%] ‡ **14:45** αυτω ραββι ραββι **f**$^{35}$ [84%] HF,RP ¦ 12 (D)(N) [1%] ¦ 23 A [10%] TR ¦ 2 ℵB,C [1%] NU ¦ χαιρε 23 [1%] CP ¦ χαιρε 2 W [3%] OC ¦ at least three further variants (ℵA,B,C,D,W and perhaps [20%] have ραββει for ραββι.) § **14:46** επ αυτον τας χειρας αυτων **f**$^{35}$ [91%] HF,RP,CP,TR,OC ¦ 34512 A [2%] ¦ 345 ℵC,W [0.5%] ¦ 34 αυτω B,D [4%] NU ¦ 1234 [2%] ¦ αυτω 345 N ¦ two other variants * **14:47** τις **f**$^{35}$ B,C(D)N(W) [98%] HF,RP,CP,TR,OC[NU] ¦ — ℵA [2%] † **14:47** ωτιον **f**$^{35}$ A,C,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ ωταριον ℵB,D [1.5%] NU

«Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν
καὶ ξύλων συλλαβεῖν με. 49 Καθ᾽ ἡμέραν
ἤμην πρὸς ὑμᾶς‡ ἐν τῷ ἱερῷ, διδάσκων, καὶ
οὐκ ἐκρατήσατέ με. Ἀλλ᾽ ἵνα πληρωθῶσιν
αἱ Γραφαί.» 50 Καὶ ἀφέντες αὐτὸν πάντες
ἔφυγον.§

### *A curious case*

51 Καὶ εἷς τις νεανίσκος* ἠκολούθησεν†
αὐτῷ, περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ.
Καὶ κρατοῦσιν αὐτὸν οἱ νεανίσκοι,‡ 52 ὁ δὲ
καταλιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν ἀπ᾽
αὐτῶν.§

### *At Caiaphas' house*

53 Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν
ἀρχιερέα· καὶ συνέρχονται αὐτῷ* πάντες
οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ οἱ
γραμματεῖς. 54 Καὶ ὁ Πέτρος ἀπὸ μακρόθεν
ἠκολούθησεν αὐτῷ, ἕως ἔσω εἰς τὴν αὐλὴν
τοῦ ἀρχιερέως· καὶ ἦν συγκαθήμενος μετὰ τῶν
ὑπηρετῶν καὶ θερμαινόμενος πρὸς τὸ φῶς.

---

‡ **14:49** ημην προς υμας *rell* ¦ 231 OC § **14:50** παντες εφυγον **f**[35] A,D,W [97%] HF,RP,CP,TR ¦ 21 ℵB,C [2%] OC,NU ¦ 2 N [1%] * **14:51** εις τις νεανισκος **f**[35] A,N,W (99%) HF,RP,CP,TR,OC ¦ 32 ℵB,C(D) (0.6%) NU ¦ four other variants (0.4%) † **14:51** ηκολουθησεν **f**[35] A,N [96%] HF,RP,CP,OC ¦ συνηκολουθει ℵB,C [1%] NU ¦ ηκολουθει D,W [2%] TR ¦ συνηκολουθησεν [0.5%] ‡ **14:51** οι νεανισκοι **f**[35] A,N [97%] HF,RP,CP,TR,OC ¦ 1 δε 2 (W) [2%] ¦ — ℵB,C,D [1%] NU § **14:52** απ αυτων **f**[35] A,D,N,W (98.9%) HF,RP,CP,TR,OC ¦ επ 2 (0.4%) ¦ — ℵB,C (0.5%) NU ¦ three other variants (0.2%) * **14:53** αυτω **f**[35] A,B [97%] HF,RP,CP,TR,OC ¦ αυτου [0.5%] ¦ αυτων N ¦ προς αυτον C ¦ — ℵD(W) [2%] NU

### *A farcical trial*

55 Οἱ δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον
ἐζήτουν κατὰ τοῦ Ἰησοῦ μαρτυρίαν εἰς
τὸ θανατῶσαι αὐτόν, καὶ οὐχ εὕρισκον.†
56 Πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ᾽ αὐτοῦ,
καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. 57 Καί τινες
ἀναστάντες ἐψευδομαρτύρουν κατ᾽ αὐτοῦ,
λέγοντες 58 ὅτι «Ἡμεῖς ἠκούσαμεν αὐτοῦ
λέγοντος ὅτι ‹Ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον
τὸν χειροποίητον, καὶ διὰ τριῶν ἡμερῶν ἄλλον
ἀχειροποίητον οἰκοδομήσω.›» 59 Καὶ οὐδὲ
οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν.

60 Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἰς‡
μέσον ἐπηρώτησεν§ τὸν Ἰησοῦν, λέγων·
«Οὐκ ἀποκρίνῃ οὐδέν; Τί οὗτοί σου
καταμαρτυροῦσιν;» 61 Ὁ δὲ ἐσιώπα καὶ οὐδὲν
ἀπεκρίνατο.* Πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα
αὐτὸν καὶ λέγει αὐτῷ, «Σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς
τοῦ Εὐλογητοῦ;» 62 Ὁ δὲ Ἰησοῦς εἶπεν· «Ἐγώ
εἰμι, καὶ ὄψεσθε τὸν Υἱὸν τοῦ Ἀνθρώπου
ἐκ δεξιῶν καθήμενον† τῆς Δυνάμεως, καὶ
ἐρχόμενον μετὰ‡ τῶν νεφελῶν τοῦ οὐρανοῦ.»
63 Ὁ δὲ ἀρχιερεὺς διαρρήξας τοὺς χιτῶνας
αὐτοῦ λέγει· «Τί ἔτι χρείαν ἔχομεν μαρτύρων;

---

† **14:55** ευρισκον **f**35 אA,C,N [98%] HF,RP,CP,TR,OC ¦ ηυρισκον B,D,W [2%] NU ‡ **14:60** εις *rell* ¦ 1 το D [10%] TR,OC § **14:60** επηρωτησεν *rell* ¦ επηρωτα [1%] OC * **14:61** ουδεν απεκρινατο **f**35 A,N,W [98.5%] HF,RP,CP,TR,OC ¦ ουκ 21 אB,C [1.5%] NU ¦ 1 απεκριθη D † **14:62** εκ δεξιων καθημενον **f**35 אB,C,D,N,W [90%] HF,RP,CP,OC,NU ¦ 312 A [10%] TR ‡ **14:62** μετα *rell* ¦ επι [2%] OC

64 Ἠκούσατε§ τῆς βλασφημίας. Τί ὑμῖν
φαίνεται;» Οἱ δὲ πάντες κατέκριναν αὐτὸν
εἶναι ἔνοχον* θανάτου. 65 Καὶ ἤρξαντό
τινες ἐμπτύειν αὐτῷ καὶ περικαλύπτειν τὸ
πρόσωπον αὐτοῦ† καὶ κολαφίζειν αὐτὸν
καὶ λέγειν αὐτῷ, «Προφήτευσον.»‡ Καὶ οἱ
ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔβαλλον.§

### *Peter's denials*

66 Καὶ ὄντος τοῦ Πέτρου ἐν τῇ αὐλῇ κάτω,*
ἔρχεται μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως.
67 Καὶ ἰδοῦσα τὸν Πέτρον θερμαινόμενον,
ἐμβλέψασα αὐτῷ λέγει, «Καὶ σὺ μετὰ τοῦ
Ναζαρηνοῦ Ἰησοῦ ἦσθα.»† 68 Ὁ δὲ ἠρνήσατο,
λέγων, «Οὐκ‡ οἶδα οὔτε§ ἐπίσταμαι τί σὺ*
λέγεις.» Καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον,

---

§ **14:64** ηκουσατε *rell* ¦ 1 παντως OC ¦ 1 παντες N,W [2%] * **14:64** ειναι ενοχον **f**35 A,N,W [98.5%] HF,RP,TR,OC ¦ 21 אB,C [1.5%] CP,NU ¦ 2 D † **14:65** το προσωπον αυτου **f**35 A(D)N,W [98%] HF,RP,CP,TR,OC ¦ 312 אB,C [2%] NU ‡ **14:65** προφητευσον *rell* ¦ 1 ημιν τις εστιν ο παισας σε OC ¦ 1 ημιν χριστε τις εστιν ο παισας σε N(W) [3%] § **14:65** εβαλλον **f**35 (54.8%) HF,RP,CP,TR ¦ εβαλον (37.4%) OC ¦ ελαβον אA,B,C,N (5.8%) NU ¦ ελαμβανον D,W (1.7%) ¦ six other variants (0.4%) * **14:66** εν τη αυλη κατω **f**35 A,N,W [97%] HF,RP,CP,TR ¦ 4123 אB,C [2%] OC,NU ¦ 123 D [1%] † **14:67** ναζαρηνου ιησου ησθα **f**35 A,N [97%] HF,RP,CP,TR ¦ 12 ης W [0.5%] ¦ 23 [0.5%] ¦ 13 του 2 B,C [1%] NU ¦ 23 του 1 א ¦ 2 του 13 D [0.5%] OC (at least six spellings for 'Nazarene') ‡ **14:68** ουκ **f**35 A,C,N [98%] HF,RP,CP,TR,OC ¦ ουτε אB,D,W [2%] NU § **14:68** ουτε **f**35 אB,C,D,W [50%] HF,CP,NU ¦ ουδε A,N [50%] TR,OC,RP * **14:68** τι συ **f**35 A [96%] HF,RP,CP,TR,OC ¦ 21 אB,C,N,W [4%] NU ¦ 1 D

καὶ ἀλέκτωρ ἐφώνησεν.† 69 Καὶ ἡ παιδίσκη
ἰδοῦσα αὐτὸν πάλιν ἤρξατο λέγειν‡ τοῖς
παρεστηκόσιν§ ὅτι «Οὗτος ἐξ αὐτῶν ἐστιν.»
70 Ὁ δὲ πάλιν ἠρνεῖτο. Καὶ μετὰ μικρόν, πάλιν
οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ, «Ἀληθῶς ἐξ
αὐτῶν εἶ· καὶ γὰρ Γαλιλαῖος εἶ, καὶ ἡ λαλιά
σου ὁμοιάζει.»* 71 Ὁ δὲ ἤρξατο ἀναθεματίζειν
καὶ ὀμνύναι† ὅτι «Οὐκ οἶδα τὸν ἄνθρωπον
τοῦτον ὃν λέγετε.» 72 Καὶ‡ ἐκ δευτέρου
ἀλέκτωρ ἐφώνησεν. Καὶ ἀνεμνήσθη ὁ Πέτρος
τὸ ῥῆμα§ ὃ * εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι «Πρὶν
ἀλέκτορα† φωνῆσαι δίς, ἀπαρνήσῃ με τρίς.»‡
Καὶ ἐπιβαλὼν ἔκλαιεν.

# Crucifixion Day—Friday, 04/05/30 AD

---

† **14:68** και αλεκτωρ εφωνησεν **f**35 A,C,D,N (98.5%) HF,RP,CP,TR,OC[NU] ¦ 1 ευθεως 23 (0.9%) ¦ — ℵB,W (0.6%) (1,623 vs 9 mss.) ‡ **14:69** παλιν ηρξατο λεγειν **f**35 A,N [98%] HF,RP,CP,TR,OC ¦ 213 ℵC [1%] NU ¦ 23 W [0.5%] ¦ ειπεν B ¦ D is wild § **14:69** παρεστηκοσιν **f**35 A(D)N,W [95%] HF,RP,CP,TR,OC ¦ παρεστωσιν ℵB,C [5%] NU * **14:70** και η λαλια σου ομοιαζει **f**35 A [97%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,D(W) [2.5%] NU ¦ 1234 δηλοι N † **14:71** ομνυναι **f**35 B [75%] HF,RP,CP,OC,NU ¦ ομνυειν ℵA,C,N,W [25%] TR ¦ λεγειν D ‡ **14:72** και **f**35 A,N (96.6%) HF,RP,CP,TR,OC ¦ 1 ευθεως C,D,W (1.9%) ¦ 1 ευθυς ℵB (0.8%) NU ¦ — (0.7%) § **14:72** το ρημα *rell* ¦ του ρηματος W [10%] * **14:72** ο **f**35 D,N [96%] HF,RP,CP,OC ¦ ως ℵA,B,C [2%] NU ¦ ου W [1%] TR ¦ του ιησου [1%] † **14:72** αλεκτορα *rell* ¦ αλεκτωρα N [2%] CP ‡ **14:72** απαρνηση με τρις **f**35 A,N [99%] HF,RP,CP,TR,OC ¦ 321 ℵB,C,W [1%] NU ¦ long omission D

# 15

1 Καὶ εὐθέως* ἐπὶ τὸ† πρωΐ, συμβούλιον
ποιήσαντες, οἱ ἀρχιερεῖς μετὰ τῶν
πρεσβυτέρων καὶ γραμματέων, καὶ ὅλον τὸ
συνέδριον, δήσαντες τὸν Ἰησοῦν ἀπήνεγκαν
καὶ παρέδωκαν τῷ‡ Πιλάτῳ.

### *Jesus before Pilate*

2 Καὶ ἐπηρώτησεν αὐτὸν ὁ Πιλᾶτος,
«Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;» Ὁ δὲ
ἀποκριθεὶς εἶπεν αὐτῷ,§ «Σὺ λέγεις.» 3 Καὶ
κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά.*
4 Ὁ δὲ Πιλᾶτος πάλιν ἐπηρώτησεν αὐτόν,†
λέγων· «Οὐκ ἀποκρίνῃ οὐδέν; Ἴδε πόσα σου
καταμαρτυροῦσιν.»‡ 5 Ὁ δὲ Ἰησοῦς οὐκέτι
οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν τὸν Πιλᾶτον.

### *Barabbas*

6 Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα
δέσμιον, ὅνπερ ᾐτοῦντο.§ 7 Ἦν δὲ ὁ λεγόμενος

---

* **15:1** ευθεως **f35** A,D,N,W [99%] HF,RP,CP,TR,OC ¦ ευθυς ℵB,C [1%] NU † **15:1** επι το **f35** A,N,W (80%) HF,RP,CP,TR,OC ¦ 1 τω (17.3%) ¦ 2 (0.7%) ¦ 1 (0.3%) ¦ τω (0.3%) ¦ — ℵB,C,D (1.1%) NU ¦ three other variants (0.2%) ‡ **15:1** τω **f35** A,N,W [97%] HF,RP,CP,TR,OC ¦ — ℵB,C,D [3%] NU § **15:2** ειπεν αυτω **f35** A,N [97.5%] HF,RP,CP,TR,OC ¦ λεγει 2 [1%] ¦ 2 λεγει ℵB,C,D [1%] NU ¦ 1 W * **15:3** πολλα **f35** ℵA,B,C,D [90%] HF,RP,TR,NU ¦ 1 αυτος δε ουδεν απεκρινατο N,W [10%] CP,OC † **15:4** παλιν επηρωτησεν αυτον **f35** ℵA [98%] HF,RP,CP,TR ¦ 231 C,D ¦ 1 επηρωτα 3 B,W [1%] OC,NU ¦ επηρωτα 3 [1%] ‡ **15:4** καταμαρτυρουσιν **f35** A,N [98%] HF,RP,CP,TR,OC ¦ κατηγορουσιν ℵB,C,D,W [2%] NU § **15:6** ονπερ ητουντο **f35** C,N [97.5%] HF,RP,CP,TR,OC ¦ ον 2 W [1%] ¦ ον παρητουντο ℵA,B [0.5%] NU ¦ ον αν 2 D [1%]

Βαραββᾶς, μετὰ τῶν συστασιαστῶν*
δεδεμένος, οἵτινες ἐν τῇ στάσει φόνον
πεποιήκεισαν. 8 Καὶ ἀναβοήσας† ὁ ὄχλος
ἤρξατο αἰτεῖσθαι καθὼς ἀεὶ‡ ἐποίει αὐτοῖς.
9 Ὁ δὲ Πιλᾶτος ἀπεκρίθη αὐτοῖς, λέγων,
«Θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν
Ἰουδαίων;» 10 (Ἐγίνωσκεν γὰρ ὅτι διὰ φθόνον
παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς.) 11 Οἱ
δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, ἵνα
μᾶλλον τὸν Βαραββᾶν ἀπολύσῃ αὐτοῖς.
12 Ὁ δὲ Πιλᾶτος ἀποκριθεὶς πάλιν εἶπεν§
αὐτοῖς, «Τί οὖν θέλετε* ποιήσω ὃν λέγετε†
βασιλέα‡ τῶν Ἰουδαίων;» 13 Οἱ δὲ πάλιν
ἔκραξαν, «Σταύρωσον αὐτόν.» 14 Ὁ δὲ Πιλᾶτος
ἔλεγεν αὐτοῖς, «Τί γὰρ κακὸν ἐποίησεν;»§
Οἱ δὲ περισσοτέρως* ἔκραξαν, «Σταύρωσον
αὐτόν.» 15 Ὁ δὲ Πιλᾶτος, βουλόμενος τῷ
ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι, ἀπέλυσεν αὐτοῖς

---

* **15:7** συστασιαστων **f**35 (A) [96%] HF,RP,CP,TR,OC ¦ στασιαστων אB,C,D,N,W [4%] NU † **15:8** αναβοησας **f**35 A,C,N,W [99.5%] HF,RP,CP,TR,OC ¦ αναβας אB [0.5%] NU ¦ αναβας ολος D ‡ **15:8** αει **f**35 A,C,D,N [98.5%] HF,RP,CP,TR,OC ¦ — אB,W [1%] NU ¦ one other variant [0.5%] § **15:12** αποκριθεις παλιν ειπεν **f**35 A,N [97%] HF,RP,CP,TR,OC ¦ 213 [0.5%] ¦ 21 ελεγεν אB,C [1%] NU ¦ 13 D,W [1.5%] ¦ one other variant * **15:12** θελετε **f**35 A,D,N [98.5%] HF,RP,CP,TR,OC[NU] ¦ — אB,C,W [1.5%] † **15:12** ον (−ον B) λεγετε **f**35 א(B)C,N (98.3%) HF,RP,CP,TR,OC[NU] ¦ — A,D,W (1.5%) ¦ long omissions (0.2%) ‡ **15:12** βασιλεα **f**35 (D)N [95%] HF,RP,CP,TR ¦ τον 1 אA,B,C,W [5%] OC,NU § **15:14** κακον εποιησεν **f**35 אA,D,N [98.5%] HF,RP,CP,TR ¦ 21 B,C [1.5%] OC,NU (W vacant) * **15:14** περισσοτερως **f**35 N [90%] HF,RP,CP,TR,OC ¦ περισσως אA,B,C,D [10%] NU

τὸν Βαραββᾶν, καὶ παρέδωκεν τὸν Ἰησοῦν, φραγελλώσας, ἵνα σταυρωθῇ.

*Soldiers have a little 'fun'*

16 Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν
ἔσω τῆς αὐλῆς, ὅ ἐστιν Πραιτώριον, καὶ
συγκαλοῦσιν ὅλην τὴν σπεῖραν. 17 Καὶ
ἐνδύουσιν† αὐτὸν πορφύραν καὶ περιτιθέασιν
αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον, 18 καὶ
ἤρξαντο ἀσπάζεσθαι αὐτὸν καὶ λέγειν,‡
«Χαῖρε, ὁ βασιλεὺς§ τῶν Ἰουδαίων.» 19 Καὶ
ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ καὶ
ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ γόνατα
προσεκύνουν αὐτῷ. 20 Καὶ ὅτε ἐνέπαιξαν
αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια.* Καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσωσιν αὐτόν.

*The Crucifixion*

21 Καὶ ἀγγαρεύουσιν παράγοντά τινα,
Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ᾽ ἀγροῦ (τὸν
πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου), ἵνα ἄρῃ τὸν
σταυρὸν αὐτοῦ. 22 Καὶ φέρουσιν αὐτὸν ἐπὶ†

† **15:17** ενδυουσιν **f**³⁵ A,N [96%] HF,RP,CP,TR,OC ¦ ενδιδυσκουσιν ℵB,C(D) [4%] NU ‡ **15:18** και λεγειν **f**³⁵ ℵN [30%] CP ¦ λεγοντες [2%] ¦ — A,B,C,D [68%] HF,RP,TR,OC,NU § **15:18** ο βασιλευς **f**³⁵ A,N [80%] HF,RP,CP,OC ¦ βασιλευ ℵB,D [20%] TR,NU * **15:20** ιματια τα ιδια **f**³⁵ A,N (96.3%) HF,RP,CP,TR,OC ¦ 1 αυτου 23 (1.9%) ¦ 31 αυτου ℵ (0.3%) ¦ 1 αυτου B,C (0.8%) NU ¦ 31 (0.4%) ¦ 1 D (0.2%) ¦ two other variants (0.1%) † **15:22** επι **f**³⁵ A,C(D) [95%] HF,RP,CP,TR,OC ¦ 1 τον ℵB,N [5%] NU

Γολγοθᾶ‡ τόπον, ὅ ἐστιν μεθερμηνευόμενον,
‹Κρανίου Τόπος.› 23 Καὶ ἐδίδουν αὐτῷ πιεῖν§
ἐσμυρνισμένον οἶνον, ὁ * δὲ οὐκ ἔλαβεν.
24 Καὶ σταυρώσαντες† αὐτόν,‡ διαμερίζονται§
τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον ἐπ᾽ αὐτά,
τίς τί ἄρῃ. 25 Ἦν δὲ ὥρα τρίτῃ καὶ ἐσταύρωσαν
αὐτόν. 26 Καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ
ἐπιγεγραμμένη·

Ὁ ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ

27 Καὶ σὺν αὐτῷ σταυροῦσιν δύο λῃστάς,
ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ.
28 Καὶ ἐπληρώθη ἡ Γραφὴ ἡ λέγουσα, «Καὶ μετὰ
ἀνόμων ἐλογίσθη.»*

29 Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν
αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ
λέγοντες, «Οὐά, ὁ καταλύων τὸν ναὸν καὶ
ἐν τρισὶν ἡμέραις οἰκοδομῶν,† 30 σῶσον
σεαυτὸν καὶ κατάβα‡ ἀπὸ τοῦ σταυροῦ.»

---

‡ **15:22** γολγοθα **f**35 A,C,D [90%] HF,RP,TR,OC ¦ γολγοθαν אB,N [10%] CP,NU § **15:23** πιειν **f**35 A(D) [99%] HF,RP,CP,TR,OC ¦ — אB,C [1%] NU * **15:23** ο **f**35 A,C [98%] HF,RP,CP,TR,OC ¦ ος אB [1%] NU ¦ και D [1%] † **15:24** σταυρωσαντες **f**35 אA,C,D [99.5%] HF,RP,CP,TR,OC ¦ σταυρουσιν B [0.5%] NU ‡ **15:24** αυτον **f**35 אA,C,D [99.5%] HF,RP,CP,TR,OC ¦ 1 και B [0.5%] NU § **15:24** διαμεριζονται **f**35 אA,B,C,D [95%] HF,RP,CP,OC,NU ¦ διεμεριζοντο [3%] ¦ διεμεριζον [2%] TR ¦ three other variants * **15:28** verse 28 entire **f**35 (88.7%) HF,RP,CP,TR,OC ¦ — אA,B,C,D (11.1%) NU ¦ two other variants (0.1%) (OC is in small print) † **15:29** εν τρισιν ημεραις οικοδομουν **f**35 אC [97%] HF,RP,CP,TR,OC ¦ 4123 B(D) [1%] NU ¦ 234 A [2%] ‡ **15:30** και καταβα **f**35 A,C [96.5%] HF,RP,CP,TR,OC ¦ καταβας אB [1.5%] NU ¦ 1 καταβηθι [2%]

31 Ὁμοίως§ καὶ οἱ ἀρχιερεῖς, ἐμπαίζοντες
πρὸς ἀλλήλους μετὰ τῶν γραμματέων,
ἔλεγον· «Ἄλλους ἔσωσεν· ἑαυτὸν οὐ δύναται
σῶσαι. 32 Ὁ Χριστός, ὁ βασιλεὺς τοῦ*
Ἰσραήλ, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ,
ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ.»† Καὶ οἱ
συνεσταυρωμένοι αὐτῷ‡ ὠνείδιζον αὐτόν.
33 Γενομένης δὲ§ ὥρας ἕκτης, σκότος
ἐγένετο ἐφʼ ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης.*
34 Καὶ τῇ ὥρᾳ τῇ ἐνάτῃ† ἐβόησεν ὁ Ἰησοῦς
φωνῇ μεγάλῃ, λέγων,‡ «Ἐλωΐ, Ἐλωΐ, λιμᾶ§
σαβαχθανί;» ὅ ἐστιν μεθερμηνευόμενον, «Ὁ
Θεός,* ὁ Θεός μου, εἰς τί με ἐγκατέλιπες;»†
35 Καί τινες τῶν παρεστηκότων ἀκούσαντες
ἔλεγον, «Ἰδού,‡ Ἠλίαν φωνεῖ.» 36 Δραμὼν δὲ

---

§ **15:31** ομοιως **f**35 ℵA,B,C [90%] HF,RP,CP,NU ¦ 1 δε [10%] TR,OC ¦ — D * **15:32** του **f**35 A,C [95%] HF,RP,CP,TR,OC ¦ — ℵB,D [5%] NU † **15:32** αυτω **f**35 D [80%] HF,RP,CP,OC ¦ — ℵA,B,C [20%] TR,NU ‡ **15:32** αυτω **f**35 A,C (96.7%) HF,RP,CP,TR,OC ¦ συν 1 ℵB (1.2%) NU ¦ — D (1.9%) ¦ long omissions (0.2%) § **15:33** γενομενης δε **f**35 A,C [96%] HF,RP,CP,TR,OC ¦ και 1 ℵB,D [4%] NU * **15:33** ενατης **f**35 ℵA,B,C,D,N [80%] HF,RP,CP,OC,NU ¦ εννατης [20%] TR (Also in the next verse.) † **15:34** ωρα τη ενατη **f**35 A,C,N [96%] HF,RP,CP,TR,OC ¦ 31 ℵB,D [4%] NU ‡ **15:34** λεγων **f**35 A,C,N [98.5%] HF,RP,CP,TR,OC ¦ — ℵB,D [1.5%] NU § **15:34** λιμα **f**35 A [85%] HF,RP,CP,OC ¦ λειμα [10%] ¦ λεμα ℵC [1%] NU ¦ λαμμα [2%] TR ¦ λαμα B,D,N [1.5%] * **15:34** ο θεος **f**35 A [45%] ¦ 12 μου ℵC,D,N [55%] HF,RP,CP,TR,OC,NU ¦ — B † **15:34** με εγκατελιπες **f**35 (A)C [98.5%] HF,RP,CP,TR,OC ¦ 21 (ℵ)B [1.5%] NU ¦ ωνιδισας 1 D ‡ **15:35** ιδου **f**35 A,N [90%] HF,RP,CP,TR ¦ ιδε ℵB [4%] OC,NU ¦ οτι C [0.5%] ¦ οτι 1 [5%] ¦ — D [0.5%]

εἷς§ καὶ* γεμίσας σπόγγον ὄξους, περιθείς
τε† καλάμῳ, ἐπότιζεν αὐτόν, λέγων, «Ἄφετε,
‹ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν.› »
37 Ὁ δὲ Ἰησοῦς, ἀφεὶς φωνὴν μεγάλην,
ἐξέπνευσεν· 38 καὶ τὸ καταπέτασμα τοῦ ναοῦ
ἐσχίσθη εἰς δύο ἀπὸ‡ ἄνωθεν ἕως κάτω.
39 Ἰδὼν δὲ ὁ κεντυρίων, ὁ παρεστηκὼς
ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτως κράξας§
ἐξέπνευσεν, εἶπεν, «Ἀληθῶς ὁ ἄνθρωπος οὗτος
Υἱὸς ἦν Θεοῦ.»*
40 Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν
θεωροῦσαι, ἐν αἷς ἦν† Μαρία ἡ Μαγδαληνὴ
καὶ Μαρία ἡ τοῦ‡ Ἰακώβου τοῦ μικροῦ καὶ
Ἰωσῆ§ μήτηρ καὶ Σαλώμη— 41 αἳ καὶ* ὅτε ἦν ἐν
τῇ Γαλιλαίᾳ ἠκολούθουν αὐτῷ καὶ διηκόνουν
αὐτῷ—καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς
Ἱεροσόλυμα.

---

§ **15:36** εις **f**35 A,C,D,N [98%] HF,RP,CP,TR,OC ¦ τις ℵB [1%] NU ¦ — [1%] * **15:36** και **f**35 ℵA,C,D,N [98.5%] HF,RP,CP,TR,OC[NU] ¦ — B [1.5%] † **15:36** τε **f**35 A,C [97%] HF,RP,CP,TR,OC ¦ — ℵB(D)N [1.5%] NU ¦ και [1.5%] ‡ **15:38** απο **f**35 ℵA,C,N [98%] HF,RP,CP,TR,OC ¦ απ B,D,W [2%] NU § **15:39** κραξας **f**35 A,C,N,W (98.6%) HF,RP,CP,TR,OC ¦ κραξαντα D ¦ — ℵB (0.4%) NU ¦ longer omissions (0.9%) * **15:39** ο ανθρωπος ουτος υιος ην θεου **f**35 A,C,N,W [97.5%] HF,RP,CP,TR,OC ¦ 312465 ℵB [2%] NU ¦ 312645 D ¦ two other variants † **15:40** ην **f**35 D,W [55%] CP ¦ 1 και A,C,N [45%] HF,RP,TR,OC ¦ και ℵB [0.5%] NU ‡ **15:40** του **f**35 A [90%] HF,RP,CP,TR,OC ¦ — ℵB,C(D)N,W [10%] NU § **15:40** ιωση **f**35 ℵA,C,N(W) [98%] HF,RP,CP,TR,OC ¦ ιωσητος (B)D [2%] NU * **15:41** αι και **f**35 D (88.8%) HF,RP,CP,TR,OC ¦ 2 A,C,N,W (7.4%) ¦ 1 ℵB (3.7%) NU ¦ 1 δε (0.1%)

## *The burial*

42 Καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ Παρασκευὴ
ἦν,† ὅ ἐστιν προσάββατον,‡ 43 ἐλθὼν§ Ἰωσὴφ
ὁ * ἀπὸ Ἀριμαθαίας, εὐσχήμων βουλευτής, ὃς
καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν
τοῦ Θεοῦ,† τολμήσας εἰσῆλθεν πρὸς‡ Πιλᾶτον
καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. 44 Ὁ
δὲ Πιλᾶτος ἐθαύμασεν εἰ ἤδη τέθνηκεν·
καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα
ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανεν. 45 Καὶ
γνοὺς ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο τὸ
σῶμα§ τῷ Ἰωσήφ. 46 Καὶ ἀγοράσας* σινδόνα
καὶ† καθελὼν αὐτόν, ἐνείλησεν‡ τῇ σινδόνι
καὶ κατέθηκεν§ αὐτὸν ἐν μνημείῳ, ὃ ἦν
λελατομημένον ἐκ πέτρας· καὶ προσεκύλισεν
λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. 47 Ἡ

---

† **15:42** παρασκευη ην **f**$^{35}$ [25%] ¦ 21 ℵA,B,C,D,W [75%] HF,RP,CP,TR,OC,NU ‡ **15:42** προσαββατον **f**$^{35}$ ℵB,C,W [70%] HF,RP,CP,TR,OC,NU ¦ προσσαββατον A [30%] ¦ πριν σαββατον D § **15:43** ελθων **f**$^{35}$ ℵA,B,C,W [35%] OC,NU ¦ ηλθεν D [65%] HF,RP,CP,TR * **15:43** ο **f**$^{35}$ ℵA,C,W [98.5%] HF,RP,CP,TR,OC[NU] ¦ — B,D [1.5%] † **15:43** θεου *rell* ¦ 1 και [2%] CP ‡ **15:43** προς **f**$^{35}$ A,C,D [99%] HF,RP,CP,TR,OC ¦ 1 τον ℵB,W [1%] NU § **15:45** σωμα **f**$^{35}$ A,C,W [99%] HF,RP,CP,TR,OC ¦ πτωμα ℵB,D [1%] NU * **15:46** αγορασας *rell* ¦ αγωρασας CP † **15:46** και **f**$^{35}$ A,C(W) [99%] HF,RP,CP,TR,OC ¦ — ℵB(D) [1%] NU ‡ **15:46** ενειλησεν *rell* ¦ ενειλισε [5%] CP § **15:46** κατεθηκεν **f**$^{35}$ C (94.1%) HF,RP,CP,TR,OC ¦ εθηκεν ℵB,D,W (4.6%) NU ¦ τεθηκεν (0.7%) ¦ καθηκεν A (0.3%) ¦ long omission (0.2%) ¦ one other variant

δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία* Ἰωσῆ†
ἐθεώρουν ποῦ τίθεται.‡

# 16

1 Καὶ διαγενομένου τοῦ σαββάτου, Μαρία ἡ
Μαγδαληνὴ καὶ Μαρία* Ἰακώβου καὶ Σαλώμη
ἠγόρασαν† ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν
τὸν Ἰησοῦν.‡

## Resurrection Day—Sunday, 04/07/30 AD

*Women go to sepulcher*

2 Καὶ λίαν πρωῒ τῆς μιᾶς§ σαββάτων,
ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος
τοῦ ἡλίου. 3 Καὶ ἔλεγον πρὸς ἑαυτάς,
«Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς
θύρας τοῦ μνημείου;» 4 Καὶ ἀναβλέψασαι
θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος (ἦν
γὰρ μέγας σφόδρα). 5 Καὶ εἰσελθοῦσαι εἰς
τὸ μνημεῖον εἶδον νεανίσκον καθήμενον ἐν
τοῖς δεξιοῖς περιβεβλημένον στολὴν λευκήν,

---

* **15:47** μαρια **f**35 D [97%] HF,RP,CP,TR,OC ¦ 1 η A,B,C,W [3%] NU ¦ א has a long omission [homoioteleuton] † **15:47** ιωση **f**35 C(W) [96%] HF,RP,CP,TR,OC ¦ ιωσηφ A [0.5%] ¦ ιωσητος B [3%] NU ¦ ιακωβου D [0.5%] ¦ — א ‡ **15:47** τιθεται **f**35 W [97%] HF,RP,CP,TR,OC ¦ τεθειται A,B,C,D [3%] NU ¦ — א * **16:1** μαρια **f**35 [88%] HF,RP,CP ¦ 1 η του A,B [2%] TR,OC[NU] ¦ 1 η אC,W [10%] ¦ D has a long omission † **16:1** ηγορασαν *rell* ¦ ηγωρασαν CP ‡ **16:1** τον ιησουν **f**35 [30%] CP ¦ αυτον אA,B,C(D)W [70%] HF,RP,TR,OC,NU § **16:2** της μιας **f**35 A,C [97%] HF,RP,CP,TR,OC ¦ 2 D ¦ 12 των [1%] ¦ τη μια των א [1.5%] NU ¦ μια των B,W ¦ μια [0.5%]

καὶ ἐξεθαμβήθησαν. 6 Ὁ δὲ λέγει αὐταῖς· «Μὴ
ἐκθαμβεῖσθε. Ἰησοῦν ζητεῖτε, τὸν Ναζαρηνόν,
τὸν ἐσταυρωμένον. Ἠγέρθη, οὐκ ἔστιν ὧδε·
ἴδε, ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. 7 Ἀλλ’*
ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, καὶ τῷ
Πέτρῳ, ὅτι ‹Προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν·
ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν.›» 8 Καὶ
ἐξελθοῦσαι† ἔφυγον ἀπὸ τοῦ μνημείου, εἶχεν
δὲ‡ αὐτὰς τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ
οὐδὲν εἶπον, ἐφοβοῦντο γάρ.§

*Jesus appears to the Magdalene, first*

9 Ἀναστὰς δὲ ὁ Ἰησοῦς* πρωῒ πρώτῃ
σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ
Μαγδαληνῇ, ἀφ’† ἧς‡ ἐκβεβλήκει ἑπτὰ
δαιμόνια. 10 Ἐκείνη πορευθεῖσα ἀπήγγειλεν
τοῖς μετ’ αὐτοῦ γενομένοις, πενθοῦσιν καὶ
κλαίουσιν. 11 Κἀκεῖνοι, ἀκούσαντες ὅτι ζῇ
καὶ ἐθεάθη ὑπ’ αὐτῆς, ἠπίστησαν.

*Emmaus*§

---

* **16:7** αλλ *rell* ¦ αλλα ℵA,B,C,D,W [2%] NU † **16:8** εξελθουσαι *rell* ¦ 1 ταχυ [5%] TR ‡ **16:8** δε $\mathbf{f}^{35}$ A,C [99.5%] HF,RP,CP,TR,OC ¦ γαρ ℵBD(W) [0.5%] NU § **16:8** have verses 9-20 *rell* [[NU]] ¦ — ℵB (For a full discussion of this variant, please see Appendix E in my, *The Identity of the New Testament Text IV*.) * **16:9** ο ιησους $\mathbf{f}^{35}$ [30%] CP ¦ — A,C,D,W [70%] HF,RP,TR,OC,NU (ℵB omit verses 9-20 and NU puts them in double brackets.) † **16:9** αφ $\mathbf{f}^{35}$ A [98%] HF,RP,CP,TR,OC ¦ παρ C,D,W [2%] NU ‡ **16:9** ης *rell* ¦ 1 και CP § **16:11** [This was either the third or the fourth appearance; the 2nd was to the women; Jesus also appeared to Peter, but the Text does not permit us to know for sure if it was before or after Emmaus.]

12 Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν
περιπατοῦσιν ἐφανερώθη, ἐν ἑτέρᾳ μορφῇ,
πορευομένοις εἰς ἀγρόν. 13 Κἀκεῖνοι
ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ
ἐκείνοις ἐπίστευσαν.

### *Jesus appears to the 'Eleven', fifth*

14 Ὕστερον* ἀνακειμένοις αὐτοῖς τοῖς
ἕνδεκα ἐφανερώθη· καὶ ὠνείδισεν τὴν
ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν, ὅτι
τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον†
οὐκ ἐπίστευσαν. 15 Καὶ εἶπεν αὐτοῖς·
«Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα,
κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει. 16 Ὁ
πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται· ὁ δὲ
ἀπιστήσας κατακριθήσεται. 17 Σημεῖα δὲ τοῖς
πιστεύσασιν ταῦτα παρακολουθήσει· ἐν τῷ
ὀνόματί μου δαιμόνια ἐκβαλοῦσιν· γλώσσαις
λαλήσουσιν καιναῖς·‡ 18 ὄφεις ἀροῦσιν·§ κἂν
θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψῃ·*
ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσιν, καὶ
καλῶς ἕξουσιν.»

## The Ascension

---

* **16:14** υστερον $\mathbf{f}^{35}$ C,W [98%] HF,RP,CP,TR,OC ¦ 1 δε A,D [2%] [NU] † **16:14** εγηγερμενον *rell* ¦ 1 εκ νεκρων A,C (10.7%) ‡ **16:17** καιναις $\mathbf{f}^{35}$ A,W (97.8%) HF,RP,CP,TR,OC ¦ και εν ταις χερσιν 1 C (2.2%) [NU] § **16:18** οφεις αρουσιν $\mathbf{f}^{35}$ A,W (97.4%) HF,RP,CP,TR,OC ¦ και εν ταις χερσιν 12 C (2.2%) [NU] ¦ — (0.2%) ¦ omit verses 9-20 $\aleph^{c}$B * **16:18** βλαψη $\mathbf{f}^{35}$ A,C,W [95%] HF,RP,CP,NU ¦ βλαψει [5%] TR,OC

19 Ὁ μὲν οὖν Κύριος,† μετὰ τὸ λαλῆσαι
αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανὸν καὶ
ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ. 20 Ἐκεῖνοι δὲ
ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου
συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ

† **16:19** κυριος **f**[35] A (94.5%) HF,RP,CP,TR,OC ¦ 1 ιησους C(W) (5.2%) NU ¦ ιησους (0.2%) ¦ one other variant

τῶν ἐπακολουθούντων σημείων. Ἀμήν.‡,§,*,†

‡ **16:20** αμην **f**[35] C,W (97.9%) HF,RP,CP,TR,OC ¦ — A (2.1%) NU
§ **16:20** have verses 9-20 *rell* [[NU]] ¦ — אB (For a full discussion of this variant, please see Appendix E in my, *The Identity of the New Testament Text IV*.) * **16:20** In the colophons, **f**[35] [50%] have, “published ten years after the ascension of Christ”. For 50% of the MSS to have this information probably means that the tradition is ancient; and of course, I have demonstrated, to my own satisfaction at least, that **f**[35] goes back at least to the 3rd century. If this information is correct, then Mark was ‘published’ in 40/41 AD. The same sources have Matthew published two years earlier (38/39) and Luke five years later (45/46), while John was ‘published’ thirty-two years after the ascension, or 61/62 AD. Not only were the authors eyewitnesses of the events, but many others were still alive when the Gospels appeared. They could attest to the veracity of the accounts, but could also be the source of textual variants, adding tidbits here and there, or ‘correcting’ something that they remembered differently. † **16:20** The citation of **f**[35] is based on the following fifty-three MSS—18, 35, 128, 141, 204, 510, 547, 553, 586, 645, 689, 789, 824, 928, 1023, 1040, 1072, 1075, 1111, 1117, 1133, 1145, 1147, 1199, 1251, 1339, 1384, 1435, 1461, 1496, 1503, 1572, 1628, 1637, 1652, 1667, 1705, 1713, 2122, 2221, 2253, 2261, 2323, 2352, 2382, 2466, 2503, 2554, 2765, 2875, 2876, Iviron 2110 and Leukosia 65 [the last two do not yet have a GA number, so far as I know]—all of which I collated myself. None of them is a ‘perfect’ representative of **f**[35] in Mark, as it stands [an unreasonable expectation, presumably, for a book this size, besides being a Gospel]. But 586 is only off by one letter, and its exemplar, and that of 35 and 2382, probably were perfect! And several other exemplars come close—that of 1628 was off by one variant, those of 510 and 2253 were off by two variants, those of 824, 1435, 1503 and 1637 were off by three, several by four, and so on. [This refers to the MSS I have collated—there may be even better ones out there! In fact, since I have collated perhaps 20% of the family representatives for this book, there probably are better ones out there.] The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Cyprus, Patmos, Constantinople, Bucharest, Aegean, Tirana, Mt. Athos [nine different monasteries], Corinth?, Athens, Grottaferrata,

# Η Καινή Διαθήκη
## The Greek New Testament According to Family 35, Wilbur Pickering

Copyright © 2020 Wilbur N. Pickering

Language: Ελληνική (Greek, Ancient)

Dialect: Koine

Contributor: Dwayne Green, Robert A. Boyd

This translation is made available to you under the terms of the Creative Commons Attribution-Noncommercial-No Derivatives license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:
You include the above copyright and source information.
You do not sell this work for a profit.
You do not change any of the words or punctuation of the Scriptures.
Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.

2022-10-28

---

PDF generated using Haiola and XeLaTeX on 11 Nov 2022 from source files dated 11 Nov 2022
cf64fb6f-e463-5ebb-820f-5a4a7bb37b73